ἀνὴρ ἐπὶ τὸν πατριαρχικὸν θρόνον ὑπὸ τῆς Αὐτοκρατείρας Θεοδώρας, ἀποκατέστησε τὴν προσκύνησιν τῶν ἁγίων Εἰκόνων, καὶ ὥρισε πανηγυρίζεσθαι κατ' ἔτος τὴν νίκην τῆς ὀρθοδοξίας καὶ ἐπαναλαμβάνειν τὴν καταδίκην τῶν ἐχθρῶν αὐτῆς. Ὁ ἅγιος ὁμολογητὴς ἐξεδήμησε πρὸς Κύριον τῷ ωμς'. [1].

Τὸ ἐνδοξότατον τῶν κατορθωμάτων τοῦ ἁγίου Μεθοδίου ἐστιν ἀναμφηρίστως ἡ τῆς ὀρθοδοξίας ἀποκατάστασις. Καὶ ἐν τοῖς συγγράμμασιν αὐτοῦ καταφαίνεται ὁ ὑπὲρ αὐτῆς ἔνθεος αὐτοῦ ζῆλος. Πρὸς ἐμπέδωσιν αὐτῆς τε καὶ τῆς ἐκκλησιαστικῆς εὐταξίας συνέταξε: Διάταξιν περὶ τῶν ἀπ' ἀρνήσεως διαφόρων προσώπων καὶ ἡλικιῶν πρὸς τὴν ὀρθόδοξον καὶ ἀληθῆ πίστιν ἐπιστρεφόντων [2], τρεῖς διατάξεις περὶ τῶν γάμων [3], μετανοίας κανόνας [4], καί τινας ἐκλεκτοὺς ὕμνους [5].

Ὁ ἅγιος Μεθόδιος κατέλιπεν οὐκ ὀλίγας ποιμαντικὰς ὁμιλίας [6].

---

[1] Περὶ τοῦ βίου αὐτοῦ πλὴν τῶν μνημονευθέντων ἱστορικῶν Βλ. Act. Sanct. ad 14 Junii.

[2] Ἐξεδόθη ὑπὸ Γοάρου ἐν Εὐχολογ. σελ. 876-888.

[3] Ἐν τοῖς χειρογρ. τῆς Βαρβεριν. Βιβλ. ὑπάρχουσιν: Ἀκολουθία τοῦ ἀρραβῶνος, ἀκολουθία τῆς εὐλογίας τῶν γάμων, ἀκολουθία τῆς εὐλογίας τῶν διγάμων, φέρουσι τὸ ὄνομα τοῦ Μεθοδίου. Ὁ Γοάρος ἐξέδωκεν ἐκ τῶν χειρογρ. τούτων τὰς δύο πρώτας, ἄδηλον δὲ διὰ τὶ οὐκ ἐμνημόνευσε τοῦ ὀνόματος τοῦ συγγραφέως αὐτῶν.

[4] Παρὰ τῷ Βαλσαμῶνι καὶ τῷ Ἀρμενοπούλῳ.

[5] Ἐν τῷ ἑλλην. Μην. (κα' Μαΐου) ἀναγινώσκεται Στιχηρὸν Κωνσταντίνῳ καὶ Ἑλένῃ Μεθοδίου Πατριάρχου. Ἐν τῷ σλαβ. Μην. (Μαρτ. ς') στιχηρὸν αὐτοῦ τοῖς μάρτυσι τοῖς ἐν τῷ Ἀμορίῳ. Ἐν χειρογρ. σλαβ. Μην. (Βιβλ. τῆς ἐν Μόσχᾳ ἐκκλησ. Ἀκαδημ.) κανὼν εἰς τὴν Θεοτόκον.

[6] Ἔγραψε α) Λόγους εἰς τὴν Ὑπαπαντὴν τοῦ Κυρίου. εἰς τὴν Κυριακὴν τῶν Βαΐων, Ἐγκώμιον εἰς τὴν Μάρτυρα Ἀγάθην καὶ εἰς τὸν ὅσιον Θεοφάνη. Οἱ δύο πρῶτοι ἐξεδόθησαν ἐν τοῖς συγγράμμασι τοῦ ἁγίου Μεθοδίου τοῦ Πατάρων, ἐν Παρισ., τῷ 1644, ὁ τρίτος in Combefic. Bibl. Concion. T. VI. p. 725, ὁ τελευταῖος in Act. Sanctor. ad 5 Febquaq. β) περὶ τοῦ μαρτυρίου Διονυσίου Ἀρεοπαγίτου. Τὸ πόνημα τοῦτο, ἔνθα συγχέεται Διον. ὁ Ἀρεοπ. Διονυσίῳ τῷ τῶν Παρισίων, ἐξεδόθη μετὰ τῶν συγγραμμάτων

Κατ' ἐξοχὴν δὲ ἀξιόλογός ἐστιν ἡ ὁμιλία αὐτοῦ περὶ τοῦ Σταυροῦ καὶ τοῦ Πάθους τοῦ Χριστοῦ (1). Ὑπ' αὐτοῦ ἐγράφησαν πιθανῶς αἱ Ἀποκαλύψεις, αἱ ὑπό τινων ἀποδιδόμεναι Μεθοδίῳ τῷ Πατάρων (2). Αὗται ἐγράφησαν τὸ πρῶτον λατινιστί (3) καὶ πρὸς τοῖς ἄλλοις λέγουσι περὶ τῆς ἁγίας γῆς: «Τὴν ἁγίαν γῆν οὐκ ἠδυνήθησαν ἄχρι τοῦ νῦν οἱ χριστιανοὶ ὑποτάξασθαι καὶ οὐδέποτε δυνηθήσονται τυχεῖν τούτου διὰ τὴν διαφθορὰν τῶν ἠθῶν». Τοῦτο οὐκ ἠδύνατο εἰπεῖν ὁ ἅγιος Μεθόδιος ὁ Πατάρων, ἱεράρχης τοῦ τρίτου αἰῶνος, ἀλλ' ὁ ὁμολογητὴς τοῦ θ' αἰῶνος.

§. 276. Θεόδωρος ὁ Ἐδέσσης.

Θεόδωρος, ἀσκητὴς τῆς Παλαιστίνης, καὶ ἐπίσκοπος τῆς Ἐδέσσης (4). Παῖς ὢν ἠγάπα μᾶλλον τὴν προσευχήν, ἢ τὰ γράμματα. Ἐκρύβη ποτὲ ὑπὸ τὴν ἁγίαν Τράπεζαν κατὰ τὸν χρόνον τῆς θείας Λειτουργίας. Νεανίας δέ τις, κορέσας αὐτὸν μελικήρου, ἐνέπνευσεν αὐτῷ τὸν πρὸς μοναχικὸν βίον ἔρωτα. Ὁ τὴν θείαν ἱερουργίαν ἐπιτελέσας ἐπίσκοπος, μαθὼν τοῦτο, ἐχειροτόνησεν αὐτὸν ἀναγνώστην. Τούτου γενομένου, ἔμεινεν ἐν τῇ μονῇ, ἔνθα ἐπαιδεύθη τὴν τότε ἐγκύκλιον παιδείαν. Ὀκτωκαίδεκα ἔτη γεγονώς, διένειμε τὴν περιου-

τοῦ Ἀρεοπ. T. II. Antwerp. 1634. γ) Λόγον περὶ τῶν ἁγίων Εἰκόνων ἐν χειρογρ. τῆς ἐν Μόσχᾳ συνοδ. Βιβλ. cod. 5. f. δ) Λόγον εἰς τὸν ἅγιον Νικόλαον ἐν τῇ αὐτῇ Βιβλ. cod. 26. et 161. ὁ βίος τοῦ Ὁμολογητοῦ Θεοφάνους ἐνταῦθα ἐπίσης, cod. 150. (160), f. 114. Περὶ τῶν θαυμάτων τοῦ ἁγ. Νικολάου ἐν τῇ Παρισιανῇ Βιβλ. cod. 1462. Catal. cod. 2. p. 326 Ἀσκητικαί τινες μελέται in cod. Vindob. 251. Lambec. V. 324-327.

(1) Ἐξεδόθη ὑπὸ Γρετσέρου de Sancta Cruce, T. II. ed nov. p. 401, καὶ μέρος αὐτῆς ὑπὸ Ἀλλατίου in Diatriba de Methodiis, p. 348.

(2) Ἐξεδόθη in Ortodoxograph. Basileae 1564.

(3) Πλὴν τοῦ ὅτι αἱ Ἀποκαλύψεις ἀπαντῶσι πολλῷ πλέον ἐν τοῖς λατιν., ἢ ἐν τοῖς ἑλλην. ἀπογρ., αἱ ῥήσεις τῆς ἁγ. Γρ. παράγονται ἐν αὐταῖς κατὰ τὴν Βουλγάταν. Λατιν. ἐξεδόθη in I. tom. Lection. memor. Lavinagæ, 1600.

(4) Ὁ βίος αὐτοῦ ἐγράφη ὑπὸ Βασιλείου, ἐπισκόπου Ἐμέσης, ἀνεψιοῦ αὐτοῦ καὶ μαθητοῦ.

σίαν αὐτοῦ τοῖς ἐνδεέσι [1], καὶ μετὰ δύο ἔτη ἀπεχώρησεν εἰς τὴν ἐν Ἱεροσολύμοις μονὴν τοῦ ἁγίου Σάββα, ἔνθα διέτριψε δώδεκα ἔτη [2]. Ἐξελθὼν δὲ τῆς μονῆς, διέτριψεν εἰκοσιτέσσαρα ἔτη ἐν τῇ ἐρήμῳ τοὺς ἱεροὺς τῆς ἀσκήσεως διαθλῶν ἀγῶνας. Τῇ μεγάλῃ Πέμπτῃ ὅ τ ε, ὡς λέγει ὁ βιογράφος αὐτοῦ, τ ε λ ε ῖ τ α ι τ ὸ μ υ σ τ ή ρ ι ο ν τ ο ῦ θ ε ί ο υ κ ό σ μ ο υ, προὐχειρίσθη ψήφῳ τῶν Πατριαρχῶν Ἀντιοχείας καὶ Ἱεροσολύμων ἐπίσκοπος Ἐδέσσης, ὅπου ἀφικόμενος ἐσπούδασε παντὶ σθένει ἐπιστρέψαι εἰς τὴν ὀρθοδοξίαν τοὺς εἰς τὴν αἵρεσιν πεπτωκότας. Ἕνεκα τοῦ ὑπὲρ τῆς ὀρθοδοξίας ἐνθέου αὐτοῦ ζήλου οὐχ ἅπαξ ἐβουλεύσαντο οἱ αἱρετικοὶ τὸν μὲν ναὸν τῶν ὀρθοδόξων κατασκάψαι, τὸν δ' ἐπίσκοπον καὶ τὸν κλῆρον αὐτῶν ἀποκτεῖναι, ἀλλ' ἡ θεία χάρις διεφύλαττε τὸν Θεόδωρον [3]. Οἱ αἱρετικοὶ πολλὰς κατήντλησαν τοῦ θείου ἀνδρὸς ψευδεῖς διαβολάς, ἃς βουλόμενος ἀποτρίψασθαι ἀπῆλθεν [4] εἰς Βαγδάτιον [5] πρὸς τὸν Καλίφην Μαβίαν [6]. Ἀπαλλάξας δὲ δεινῆς ἀσθενείας τὸν Καλίφην, παρεκάλεσεν αὐτὸν γράψαι πρὸς τοὺς διοικητὰς τῆς Κιλικίας, τῆς Συρίας, καὶ τῆς Μεσοποταμίας ἵνα ἀποδῶσι τῇ Ἐκκλησίᾳ τῆς Ἐδέσσης τὰ κτήματα αὐτῆς, παρέχωσιν ἐλευθερίαν τοῖς βουλομένοις ἐπιστρέφεσθαι ἐκ τῆς αἱρέσεως εἰς τὴν ὀρθὴν πίστιν, καὶ κολάζωσι τοὺς ἰσχυρογνώμονας αἱρετικούς, ἢ ἐκβάλλωσιν αὐτοὺς τῆς πόλεως. Ὁ Καλίφης ἐδέξατο τότε μυστικῶς τὸ Βάπτισμα, καὶ κατὰ τὸν εὐσεβῆ αὐτοῦ πόθον μετέβη ὁ Θεόδωρος εἰς Κωνσταντινούπολιν, ἵνα λάβῃ δι' αὐτὸν μέρος τοῦ ζωοποιοῦ ξύλου. Ὁ ἱερὸς ἀνὴρ ἀφίκετο εἰς τὴν πρωτεύουσαν τῆς αὐτοκρατορίας ἐπὶ Μιχαὴλ καὶ Θεοδώρας, καὶ μετὰ χαρᾶς ἐδόθη αὐτῷ τὸ ἅγιον δῶρον [7]. Ἀποστείλας τοῦτο τῷ Μαβίᾳ Ἰωάν-

---

(1) Μέρος αὐτῆς κατέλιπε τῇ ἀδελφῇ αὐτοῦ, ὡς λέγει ὁ Βασίλειος.

(2) Κατὰ τὸ πέμπτον ἔτος τῆς ἐν τῇ Λαύρᾳ διατριβῆς αὐτοῦ ἐγένετο οἰκονόμος αὐτῆς· ἡγούμενος δ' αὐτῆς ἦν ὁ Ἰωάννης.

(3) Ὁ Θεόδωρος ἐπερρώνυ ἑαυτὸν κατὰ τὸν βαρὺν τοῦτον χρόνον ταῖς πρὸς Θεόδωρον τὸν Στυλίτην ὁμιλίαις.

(4) Ὁ Βασίλειος λέγει, ὅτι ὁ Θεόδωρος ἔλαβεν αὐτὸν μεθ' ἑαυτοῦ.

(5) Ὁ Βασίλειος λέγει, ὅτι ὁ Μητροπολίτης ταύτης τῆς πόλεως ὑπεδέξατο πάνυ φιλοφρόνως τὸν Θεόδωρον.

(6) Ἐ ν Β α β υ λ ῶ ν ι (Βαγδατίῳ), λέγει ὁ Βασίλειος, ἐ β α σ ί λ ε υ ε Μ α β ί α ς.

(7) Τοῦτο ἐγένετο, ὡς δῆλον, μετὰ τὴν ἀποκατάστασιν τῆς προσκυ-

νη (¹), ἀπῆλθεν εἰς Ἔδεσσαν, ἔνθα ὑπεδέξατο αὐτὸν μετ' ἄκρας χαρᾶς τὸ ποίμνιον αὐτοῦ. ὅπερ τῇ ἐπιστροφῇ τῶν αἱρετικῶν εἰς τὴν ὀρθοδοξίαν ἦν τότε πολυάριθμον. Λαβὼν πολλὰ δῶρα παρὰ τοῦ Καλίφου, ὃς μετὰ ταῦτα, κηρύξας ἑαυτὸν χριστιανόν, ἀνεδήσατο τὸν στέφανον τοῦ μαρτυρίου, ἀπῆλθεν εἰς Ἱεροσόλυμα. Μετὰ τὴν εἰς Ἔδεσσαν ἐπάνοδον ὁ Θεόδωρος προβλέπων τὸν ἐγγίζοντα θάνατον ἐπεθύμησε τελευτῆσαι ἐν τῷ προτέρῳ ἐρημικῷ αὐτοῦ κελλίῳ. Ἐντεῦθεν ἀπῆλθεν αὖθις εἰς Παλαιστίνην, ἔνθα μετὰ παρέλευσιν ὀλίγου χρόνου κατέλυσε τὸν βίον (*).

§. 277. Πονήματα αὐτοῦ.

Ἐν τῇ ἑλληνικῇ καὶ τῇ σλαβικῇ γλώσσῃ, καθάπερ καὶ ἐν τῇ λατινικῇ μεταφράσει, εἰσὶ γνωστὰ Κεφάλαια πάνυ ψυχοφελῆ ρ΄ τοῦ ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Θεοδώρου τοῦ μεγάλου ἀσκητοῦ καὶ ἐπισκόπου Ἐδέσσης (²). Περὶ τῆς ἀφορμῆς τῆς συγγραφῆς αὐτῶν λέγει ὁ βιογράφος τοῦ θείου ἀνδρός: «Τῇ Ε΄ ἑβδομάδι τῆς μεγάλης Τεσσαρακοστῆς οἱ Πατέρες τῆς Λαύρας τῆς Ἱερουσαλὴμ μετέβησαν κατὰ τὸ ἔθος «μετὰ λιτῆς τουτέστι μετὰ Σταυροῦ» περὶ τὰ κελλία τῶν ἡσυχαστῶν, καὶ μετὰ τὴν λιτανίαν παρεκάλεσαν τὸν μεταλαβόντα τότε τῶν ἀχράντων Μυστηρίων Θεόδω-

---

νήσεως τῶν ἁγίων Εἰκόνων. Ὁ Βασίλειος ποιεῖται λόγον οὐ μόνον περὶ τοῦ Μιχαὴλ καὶ τῆς Θεοδώρας, ἀλλὰ καὶ περὶ τοῦ Πατριάρχου.

(¹) Διὰ τοῦ βιογράφου Βασιλείου, ὡς αὐτὸς λέγει.

(*) Ἐν τῇ Φιλοκαλίᾳ εἴρηται, ὅτι ὁ θεῖος ἀνὴρ «ἦν ἐπὶ τῆς βασιλείας Ἡρακλείου καὶ Κωνσταντίνου τοῦ Πωγωνάτου περίπου τὸ ἑξακοσιοστὸν ἑξηκοστὸν ἔτος», ἀλλὰ τοῦτό ἐστιν ἀπάτη. «Κατὰ τὴν δεκάτην ἐννάτην Ἰουλίου πρὸς τὰς αἰωνίους μετέστη μονάς, ὡς ἐν τῇ βίβλῳ τῇ καλουμένῃ Καλοκαιρινῇ ὁ βίος αὐτοῦ συνεγράφη», λέγει ἡ Φιλοκαλία.

(²) Πέτρος ὁ Ποσσῖνος ἐξέδωκεν ἑλλην. καὶ λατ. 100 Κεφάλαια τοῦ ὁσ. Θεοδώρου in Thesauro ascetico, Romæ, 1566, p. 345-403. Ταῦτα εὑρίσκονται καὶ ἐν βιεν. χειρογρ. Cod. Theol. 224. in Coisl. cod. 123. saec. XI. ἐν τῇ συνοδ. Βιβλ. τῆς Μόσχας. cod. XV. saec. XI. et cod. XVIII. saec. XI.

ρον ἐκθεῖναι αὐτοῖς διδασκαλίας. Ὁ ἅγιος Θεόδωρος ἐπλήρωσε τὴν ἐπιθυμίαν ἐκείνων, καὶ οὕτω συνετάχθησαν τὰ ρ΄ Κεφάλαια.

Ὁ αὐτὸς βιογράφος καὶ αὐτόπτης διέσωσε α΄) μακρὰν ὁμιλίαν τοῦ ἁγίου Θεοδώρου πρὸς τοὺς ἐν Ἐδέσσῃ αἱρετικούς, περιέχουσαν τὴν ὁμολογίαν τῆς ὀρθοδόξου πίστεως καὶ ἀνασκευὴν τῶν κυριωτέρων δοξασιῶν αὐτῶν· β΄) ὁμιλίαν ἐπ᾿ ἴσης πρὸς τὸν ἐν Ἐδέσσῃ ἑκατοντούτη Στυλίτην Θεοδόσιον (¹).

Ὁ ὅσιος διδάσκει :

« Ὥσπερ ἔργον ἀγαθὸν χωρὶς ὀρθῆς πίστεως γινόμενον νεκρόν ἐστι πάμπαν καὶ ἀνενέργητον, οὕτω δὴ καὶ πίστις μόνη χωρὶς ἔργων δικαιοσύνης οὐ ρύεται ἡμᾶς τοῦ αἰωνίου πυρός. Ὁ γὰρ ἀγαπῶν με, φησιν ὁ Κύριος, τὰς ἐντολάς μου τηρήσει. Εἰ οὖν ἀγαπῶμεν τὸν Κύριον καὶ πιστεύομεν εἰς αὐτόν, ἀντιποιώμεθα τῆς τῶν ἐντολῶν αὐτοῦ ἐργασίας, ἵνα τευξώμεθα ζωῆς αἰωνίου. Εἰ δὲ παροπτέα ἡμῖν ἡ τῶν προσταγμάτων αὐτοῦ τήρησις, οἷς ἡ κτίσις ἅπασα πειθαρχεῖ, πῶς πιστοὺς ἑαυτοὺς καλέσομεν; τετιμημένοι ὑπὲρ πᾶσαν τὴν κτίσιν, μόνοι δὲ ἐκ πάντων ἀπειθεῖς τοῖς τοῦ πεποιηκότος προστάγμασι, καὶ ἀχάριστοι περὶ τὸν εὐεργέτην δεικνύμενοι ; » (Κεφ. β΄.)

« Οὐδεὶς ἡμῶν ἐκ τῆς οἰκείας ἰσχύος δύναται περιγενέσθαι τῶν μεθόδων καὶ τεχνῶν τοῦ πονηροῦ, ἀλλ᾿ ἐκ τῆς ἀηττήτου δυνάμεως τοῦ Χριστοῦ. Μάτην οὖν πεπλάνηνται οἱ φυσιούμενοι διὰ τῶν παρ᾿ αὐτοῖς τελουμένων ἀσκήσεων καὶ τοῦ αὐτεξουσίου καταργεῖν τὴν ἁμαρτίαν φημίζοντες, τὴν διὰ μόνης τῆς τοῦ Θεοῦ χάριτος καταργουμένην, ὡς ἅτε νεκρωθεῖσαν διὰ τοῦ ἐν τῷ Σταυρῷ μυστηρίου. Διὰ τοῦτο καὶ ὁ τῆς Ἐκκλησίας φωστὴρ Ἰωάννης ὁ Χρυσόστομος λέγει, ὅτι οὐκ ἀρκεῖ προθυμία ἀνθρώπου, ἂν μὴ καὶ τῆς ἄνωθεν ἀπολαύσῃ ροπῆς. Καὶ ὅτι πάλιν οὐδὲν κερδανοῦμεν ἀπὸ τῆς ἄνωθεν ροπῆς, προθυμίας οὐκ οὔσης. Καὶ ταῦτα ἀμφότερα δείκνυσιν Ἰούδας καὶ Πέτρος. Ὁ μὲν γὰρ πολλῆς ἀπολαύσας βοηθείας, οὐδὲν ὠφελήθη, ἐπεὶ μὴ ἠθέλησε, μηδὲ τὰ παρ᾿ ἑαυτοῦ συνεισήνεγκεν. Ὁ δὲ Πέτρος, καί περ προθυμηθείς, ἐπειδὴ μηδεμιᾶς ἀπέλαυσε βοηθείας,

(¹) Αἱ ὁμιλίαι αὗται in Vien. manuscr. Cod. 251.

κατέπεσε. Καὶ γὰρ ἀπὸ τῶν δύο τούτων ἡ ἀρετὴ ὑφαίνεται. Διὸ παρακαλῶ, φησι, μήτε τὸ πᾶν ἐπὶ τὸν Θεὸν ῥίψαντες καθεύδειν, μήτε σπουδάζοντας νομίζειν οἰκείοις πόνοις τὸ πᾶν κατορθοῦν». (Κεφ. ξη΄.)

« Μὴ πολυετεῖς κύκλους τοῦ μονήρους βίου σου ἀνάσχῃ ψηφίζειν· μηδὲ ἐν τῇ ὑπομονῇ τῆς ἐρήμου καὶ τῇ σκληρότητι τῶν ἀγόνων καυχήσει ζωγρηθῇς, ἀλλὰ τὸ δεσποτικὸν λόγιον ἐπὶ νοῦν ἔχε, τό, δοῦλος ἀχρεῖος εἶναι, καὶ μήπω τὴν ἐντολὴν πεπληρωκέναι· τῷ ὄντι γάρ, ἐφ᾽ ὅσον ἐν τῷ παρόντι βίῳ ἐσμέν, οὔπω τῆς ἐξορίας ἀνακεκλήμεθα, ἀλλ᾽ ἀκμὴν ἐπὶ τὸν ποταμὸν Βαβυλῶνος καθεζόμενοι, ἀκμὴν ἐπὶ τὴν αἰγύπτιον πλινθουργίαν ταλαιπωροῦμεν, μήπω τὴν γῆν τῆς ἐπαγγελίας θεασάμενοι, ἐπειδὴ οὔπω ἐξεδυσάμεθα τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης· οὔπω ἐφορέσαμεν τὴν εἰκόνα τοῦ ἐπουρανίου· ἔτι γὰρ τὴν εἰκόνα τοῦ χοϊκοῦ φοροῦμεν· οὐκ ἔχομεν τοίνυν ὁδὸν καυχήσεως, ἀλλὰ δακρύειν ὀφείλομεν, δεόμενοι τοῦ δυναμένου σώζειν ἡμᾶς τῆς μοχθηρᾶς δουλείας τοῦ πικροτάτου Φαραώ, καὶ ἐξελέσθαι τῆς δεινῆς τυραννίδος, καὶ εἰσαγαγεῖν εἰς τὴν ἀγαθὴν γῆν τῆς ἐπαγγελίας, τοῦ καταπαῦσαι εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ, καὶ εὑρεθῆναι ἐν δεξιᾷ τῆς μεγαλωσύνης τοῦ Ὑψίστου. Τούτων δὲ τῶν ὑπὲρ ἔννοιαν ἀγαθῶν ἐπιτυχεῖν ἡμᾶς οὐκ ἐξ ἔργων ἐστὶν ἡμετέρων, ὧν δοκοῦμεν ἐν δικαιοσύνῃ ποιεῖν, ἀλλὰ τῷ ἀμετρήτῳ ἐλέει τοῦ Θεοῦ. Τοιγαροῦν μὴ παυσώμεθα καταφέροντες δάκρυα ἡμέρας καὶ νυκτὸς κατὰ τὸν λέγοντα: Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ᾽ ἑκάστην νύκτα τὴν κλίνην μου ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω· οἱ γὰρ σπείροντες ἐν δάκρυσιν ἐν ἀγαλλιάσει θεριοῦσι». (Κεφ. ση΄.)

« Ἐν ψυχαῖς ταπεινῶν ἀναπαύσεται Κύριος· ἐν καρδίᾳ δὲ ὑπερηφάνων τὰ πάθη τῆς ἀτιμίας. Οὐδὲν γὰρ οὕτως ἐνισχύει ταῦτα καθ᾽ ἡμῶν, ὡς μεγαλόφρονες λογισμοί· καὶ οὐδὲν οὕτως ἐκριζοῖ τὰς πονηρὰς βοτάνας τῆς ψυχῆς, ὡς ἡ μακαρία ταπείνωσις· διὸ καὶ παθοκτόνος εἰκότως κέκληται». (Κεφ. κζ΄.)

« Καθάπερ μῦρον πολύτιμον, κἂν εἰς ἄγγος ἀποκλείηται, τὸν ἀέρα τῆς οἰκείας ἀποχρίσας εὐωδίας, οὐ τοὺς πλησίον ἑστῶτας μόνον, ἀλλὰ καὶ τοὺς πέριξ ἐμπίπλησι τῆς ἡδονῆς, οὕτω καὶ ἡ τῆς ἐναρέτου καὶ θεοφιλοῦς ψυχῆς εὐωδία, διὰ πασῶν τῶν αἰσθήσεων

ἀναδιδομένη τοῦ σώματος, ἐνδείκνυσι τοῖς ὁρῶσι τὴν ἔνδον ἀποκειμένην ἀρετήν. Τίς γὰρ ὁρῶν γλῶτταν μὲν μηδὲν ἀπηχὲς καὶ ἀνάρμοστον φθεγγομένην, ἀλλὰ πᾶν εἴτι καλὸν καὶ ὠφέλιμον τοῖς ἀκούουσιν, ὀφθαλμοὺς δὲ συνεσταλμένους, ἀκοὴν δὲ τῶν οὐ προσηκόντων μελῶν τε καὶ ῥημάτων μηδὲν δεχομένην, πόδας δὲ κοσμίως βαδίζοντας, καὶ πρόσωπον μὴ διακεχυμένον γέλωτι, πρὸς δάκρυα δὲ μᾶλλον, καὶ πένθος παρεσκευασμένον, οὐ γνώσεται πολλὴν ἔνδον ἀποκεῖσθαι τῶν ἀρετῶν εὐωδίαν; » (Κεφ. πη΄.)

Ταῦτα ἀρκοῦσιν, ὅπως ἴδῃ τις οἵαν ὁδὸν σωτηρίας δείκνυσιν ἡμῖν ὁ αὐστηρὸς ἀσκητὴς καὶ πατὴρ τῆς Ἐκκλησίας τοῦ θ΄ αἰῶνος.

§. 278. Φιλόθεος ὁ Σιναΐτης.

Φιλόθεος μοναχὸς καὶ ἡγούμενος τῆς κατὰ τὸ Σίναιον λογικῆς τῶν μοναχῶν ποίμνης. Τὰ περιστατικὰ τοῦ βίου αὐτοῦ εἰσιν ἄγνωστα· ἀλλ᾽ἐκ τῶν ἰδίων αὐτοῦ συγγραμμάτων καὶ ἀπὸ τῶν περὶ αὐτοῦ ἀποφάνσεων τῶν ἄλλων πρόδηλον, ὅτι ἦν ἔμπειρος τοῦ πνευματικοῦ βίου. Συμεὼν ὁ νέος Θεολόγος λόγον ποιούμενος περὶ τῆς πνευματικῆς πτωχείας, γράφει: «Πολλὰ περὶ τούτου ἔγραψαν οἱ θεῖοι ἡμῶν Πατέρες. Ὁ βουλόμενος ἀναγνώτω τὰ συγγράμματα αὐτῶν. Ἰδέτω τί ἔγγραψεν ὁ ἀσκητὴς Μάρκος, τί εἶπεν Ἰωάννης ὁ τῆς Κλίμακος, ὁ ὅσιος Ἡσύχιος, Φιλόθεος ὁ Σιναΐτης, ὁ ἀββᾶς Ἡσαΐας, ὁ μέγας Βαρσανούφιος, καὶ ἄλλοι πολλοί.» Κατὰ τὴν ἀπόφανσιν ταύτην τοῦ νέου Θεολόγου, Φιλόθεος ὁ Σιναΐτης τάσσεται εἰς τοὺς μεγάλους διδασκάλους τῆς πνευματικῆς πτωχείας, καὶ ἀνήκει εἰς τοὺς ἀρχαίους Πατέρας. Ἀναμφήριστον τοὐλάχιστον, ὅτι ἤκμασε πρὸ τοῦ νέου Θεολόγου, δηλ. πρὸ τοῦ δεκάτου αἰῶνος. Ὅτι δὲ οὐκ ἦν σύγχρονος Ἰωάννῃ τῷ τῆς Κλίμακος καὶ τῷ ἀββᾷ Βαρσανουφίῳ, πρόδηλον ἐκ τούτου, ὅτι ὁ Φιλόθεος τάσσει ἑαυτὸν μετὰ τοὺς ἀρχαίους Πατέρας. «Οὕτω γάρ, λέγει, καὶ παρὰ τῶν ἁγ. Πατέρων ὁρίζεται»(1). Τοιοῦτος τρόπος ἐκφράσεως ἐν τῇ παρούσῃ περιστάσει ἐστὶ τοσούτῳ μᾶλλον ἀξιοσημείωτος, ὅσῳ πολλάκις ἀπαντᾷ καὶ παρὰ τῷ ὁσίῳ Θεοδώρῳ τῷ Ἐδέσσης. Πάνυ τοίνυν εἰκότως δυνάμεθα ὑποθεῖναι, ὅτι Φι-

(1) Νηπ. Κεφ. λδ΄.

λόθεος ὁ Σιναΐτης ὁ ἐν ταῖς ἀρχαιοτάταις ἐπιγραφαῖς τῶν συγγραμμάτων αὐτοῦ ἅ γ ι ο ς καλούμενος (1), ἤκμασεν, ὡς καὶ Θεόδωρος ὁ Ἐδέσσης, ἐν τῇ ἀρχῇ τοῦ ἐννάτου αἰῶνος.

Ὁ θεῖος ἀνὴρ συνέταξε τὰ ἑξῆς πλήρη θείας σοφίας συγγράμματα:

α΄] Περὶ ἐγρηγόρσεως καὶ προσευχῆς κεφάλαια μ΄ (2).

β΄] Περὶ ἐγρηγόρσεως καὶ φυλακῆς τῆς καρδίας (3).

γ΄] Περὶ τοῦ τριμεροῦς τῆς ψυχῆς, περὶ ἐγρηγόρσεως καὶ προσευχῆς (4).

δ΄] Περὶ φυλακῆς τοῦ νοῦ καὶ περὶ ταπεινοφροσύνης (5).

---

(1) Ὁ Ποσσῖνος ἐξέδωκε τὰ Κ ε φ ά λ α ι α τοῦ Φιλοθέου ἐξ ἀπογράφου, γραφέντος πεντακόσια ἔτη πρὸ αὐτοῦ, καὶ ἐντεῦθεν ἐξ ἀπογράφου τοῦ ιβ΄ αἰῶνος, καὶ ἐν αὐτῷ καλεῖται ὁ Φιλόθεος ἅ γ ι ο ς. Οὐ μὴν ἀλλ᾿ ἐν τῷ Μηνολογίῳ οὐχ ὑπάρχει τὸ ὄνομα αὐτοῦ, πλὴν εἰ νομίσομεν αὐτὸν ὡς τὸν ὅσιον Φιλόθεον τὸν πρεσβύτερον καὶ θαυματουργόν, περὶ οὗ εἴρηται ἐν τῷ Μηναίῳ (Σεπτέμβρ. ιε΄), ὅτι μετέβαλεν ποτάμιον ὕδωρ εἰς οἶνον, ὅτι μετέθηκε λίθον μέγιστον λόγῳ, καὶ ὅτι μετὰ ἐνιαυτὸν τῆς κοιμήσεως αὐτοῦ, μετατιθεμένου ἐν ἑτέρῳ τόπῳ, τὰς χεῖρας ὡσεὶ ζῶν ἐκτείνας, καὶ τῶν ὤμων δραξάμενος τῶν δύο ἱερέων τῶν βουλομένων αὐτὸν μεταθεῖναι, ἀνέστη, καὶ τρεῖς βάσεις βηματίσας, κατετέθη ἐν ᾧ ἔκειτο τόπῳ.

(2) Ἐν τῇ συνοδ. Βιβλ. τῆς Μόσχας cod. 378. s. 219-232 .... Τοῦ ὁσίου Πατρὸς ἡμῶν Φιλοθέου... «Ἔστιν ἐν ἡμῖν νοητὸς πόλεμος...» Τὸ χειρόγρ. ἐγράφη κατὰ τὸ 1289. ἐπ᾿ ἴσης in cod. 260. Ἐν τῷ τελευταίῳ ὑπάρχουσι λ΄ μόνον Κεφάλ. Ἀλλ᾿ ἐν τῷ βιεν. χειρογρ. cod. 156. 234 ἀριθμοῦνται μ΄ Κεφάλ. Lambec. IV. 329. V. 150. Ἐπ᾿ ἴσης ἐν τῇ παρισ. Βιβλ. cod. 10. 91. Ἐν τῇ ἀγγλ. Βιβλ. cod. Bodlean. 111. sec. catal. 260. Τὰ Κεφάλαια ταῦτα ἐξεδόθ. ἐν τῇ Φιλοκαλίᾳ.

(3) Ἡ ἀρχή: «Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν κατὰ τὸν θεῖον Ἀπόστολον...» ἐν τῇ συνοδ. Βιβλ. τῆς Μόσχας cod. 322. s. 155-158. Ἐπ᾿ ἴσης in cod. Nanian. 95. Ἐκ τοῦ τελευταίου χειρογρ. ἐξέδωκε μακρὸν χωρίον ὁ Μιγγαρέλλιος. Catal. Cod. gr. Nanian. p. 185.

(4) Ἡ ἀρχή: «Μακάριος ὁ Ἀπόστολος Παῦλος» . . . Ἐν τῇ αὐτῇ συνοδ. Βιβλιοθ. s. 159. 161. Ἐπ᾿ ἴσης in Cod. typograph. in quarto 30. s. 245-246.

(5) Ἡ ἀρχή: «Βλέπετε καὶ ὁρᾶτε,

ε΄] Περὶ τοῦ ὅτι τῇ φυλακῇ τῆς καρδίας τηροῦνται καὶ αἱ ἐντολαὶ τοῦ Χριστοῦ(¹).

ς΄] Περὶ προσοχῆς καὶ προσευχῆς καὶ τῆς ἀδιαλείπτου μνήμης τοῦ θανάτου(²).

Περὶ οὐδενὸς ἄλλου ποιεῖται τοσοῦτον συχνῶς λόγον ὁ ὅσιος Φιλόθεος, ὅσον περὶ τῆς φυλακῆς τῆς καρδίας μάλιστα δὲ περὶ τοῦ γλυκυτάτου ὀνόματος τοῦ Ἰησοῦ. Αἱ περὶ τούτου διδασκαλίαι τοῦ ὁσίου εἰσι πλείστου λόγου ἄξιαι.

« Ἔστιν ἐν ἡμῖν, λέγει, νοητὸς πόλεμος τοῦ αἰσθητοῦ χαλεπώτερος, καὶ δεῖ τὸν τῆς εὐσεβείας ἐργάτην τρέχειν, καὶ κατὰ σκοπὸν διώκειν ἐν νῷ, τοῦ τελείως τὴν τοῦ Θεοῦ μνήμην ἐν καρδίᾳ, ὥσπερ μαργαρίτην, ἢ λίθον τίμιον, θησαυρίσαι. Καὶ χρὴ πάντα προέσθαι, καὶ σῶμα, καὶ αὐτῆς τῆς παρούσης ζωῆς καταφρονεῖν, ἵνα Θεὸν ἐν καρδίᾳ κτησώμεθα μόνον, ἀρκεῖ γὰρ (ἔφη ὁ θεῖος Χρυσόστομος) ἡ κατὰ νοῦν θεοπτία ἀπολέσαι τοὺς πονηρούς ». (Κεφ. α΄.)

« Λίαν ἔσο ἀκριβῶς τηρῶν σου τὸν νοῦν. Ὅταν οὖν λογισμὸν γνοίης, ἀντιλογίσθητι αὐτῷ· εὐθέως δὲ τάχος κάλεσον Χριστὸν εἰς ἐκδίκησιν. Ὁ δὲ γλυκὺς Ἰησοῦς, ἔτι σοῦ λαλοῦντος, ἐρεῖ : ἰδοὺ πάρειμι νεῖμαί σοι ἀντίληψιν· σὺ δὲ τούτων τῶν ἐχθρῶν ὅλων, εὐχῇ κατευνασθέντων πάντων, πάλιν πρόσεχε τῷ νῷ. Ἰδοὺ πάλιν κύματα πλείονα τῶν προτέρων, ἀλλεπάλληλος φορά, ἐφ' ὧν ψυχὴ νήχεται· ἀλλ' ἰδοὺ αὖ ὁ Ἰησοῦς, ἐγειρόμενος παρὰ τοῦ μαθητοῦ καὶ τοῖς πονηροῖς ἀήταις ἐπιτιμῶν ὡς Θεός. Εὐκαιρῶν δὲ ἐκ τούτων ὥραν ἴσως, ἢ στιγμήν, δόξαζε τὸν σεσωκότα, καὶ ἐννοιάζου θάνατον ». (Κεφ. κς΄.)

« Πάσῃ οὖν φυλακῇ τὴν καρδίαν ἡμῶν πάσῃ ὥρᾳ καὶ τὸ ἀκαριαῖον γοῦν, τηρήσωμεν ἐκ λογισμῶν ἀχλυούντων τὸ ψυχικὸν ἔσοπ-

---

φησὶν ὁ Κύριος, μήπως βαρυνθῶσιν . . . » ibid. s. 162. Cod. Typogr. in quarto, 30. s. 247-250.

(¹) Ἡ ἀρχή : « Ὁ Κύριος ἡμῶν » ibid. cod. 322. s. 166. Ἐπ' ἴσης in cod. 398. s. 66. Ἐξεδόθη ὑπὸ Ποσσίνου in Thesauro ascetico, Parisiis 1684.

(²) Ἡ ἀρχή : « Τὴν χαρὰν καὶ τὸν ἀρραβῶνα ». ibid. in cod. s. 171-176.

τρον, ἐν ᾧ δὲ τυποῦσθαι καὶ φωτεινογραφεῖσθαι Ἰησοῦς Χριστὸς πέφυκεν, ἡ τοῦ Θεοῦ Πατρὸς σοφία καὶ δύναμις, καὶ ἔνδον καρδίας ἄπαυστα τῶν οὐρανῶν τὴν βασιλείαν ζητήσωμεν. Τόν τε κόκκον καὶ τὸν μαργαρίτην, καὶ τὴν ζύμην, καὶ τ᾽ ἄλλα πάντα μυστικῶς εὑρήσομεν ἔνδον ἡμῶν αὐτῶν, εἴ γε τὸ ὄμμα τοῦ νοῦ ἐκκαθάρωμεν. Διὰ τοῦτο ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἔφη, ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ὑμῶν ἐστι, δηλῶν μένουσαν ἔνδον καρδίας τὴν Θεότητα». (Κεφ. κγ΄.)

«Καπνὸς ἐκ ξύλων ἀναθρώσκων, βαρὺς γίνεται ὄμμασιν, ἀλλὰ δεικνύει φῶς αὐτοῖς, καὶ τέρπει, οὓς ἐλύπει πρότερον· καὶ προσοχὴ ἀδιαλείπτως μὲν ὁρῶσα, ἐπιφέρει βάρος· φθάσας δὲ ἐν εὐχῇ Ἰησοῦς καλούμενος, φωτίζει καρδίαν· ἡ γὰρ αὐτοῦ μνήμη, παρέχει ὁμοῦ τῇ ἐλλάμψει τὸ κράτιστον τῶν καλῶν». (Κεφ. κθ΄.)

«Πολλοὶ τῶν μοναχῶν οὐκ ἴσασι τοῦ νοὸς τὴν πλάνην, ἣν ἀνατλᾷ ἐκ δαιμόνων. Διάκεινται δὲ τῇ πράξει, οὐ φροντίζοντες τοῦ νοῦ, ἁπλοῖ καὶ ἄπλαστοι ὄντες, πλέουσι τὸν βίον, οἶμαι, ἄγευστοι ὄντες καρδίας καθαρότητος, ὅλως τῶν παθῶν τῶν ἔνδον τὸ σκότος ἀγνοοῦντες. Ὅσοι οὖν οὐκ ἴσασι πάλην, ἣν λέγει Παῦλος, οὔτε τῷ καλῷ ἐκ πείρας ἴσως ποιωθέντες, τὰς κατ᾽ ἐνέργειαν ἁμαρτίας, πτώματα κρίνουσι μόνον, τὰς κατ᾽ ἔννοιαν ἥττας καὶ νίκας οὐ λογιζόμενοι· ἐπεὶ μηδὲ ὄψεις αὐτὰς πέφυκεν ὁρᾷν ἀπορρήτους οὔσας καὶ μόνῳ τῷ ἀγωνοθέτῃ Θεῷ καὶ τῇ συνειδήσει τοῦ ἀγωνιζομένου γινωσκομένας. Οἷς λελέχθαι δοκῶ τὸ γραφικὸν ἐκεῖνο. Καὶ εἶπον, φησίν, εἰρήνη, ἀλλ᾽ οὐκ ἦν εἰρήνη. Ἔχουσιν οὖν ἐν τοῖς ἀδελφοῖς ἐξ ἁπλότητος οὕτως, εὔχεσθαι αὐτοῖς καὶ διδάσκειν ὡς μάλιστα, ἵνα τῶν κατ᾽ ἐνέργειαν κακῶν ἀπέχωνται πράξεων. Οἷς δὲ ἔφεσις θεία τὸ τῆς ψυχῆς ὀπτικὸν ἐκκαθαίρεσθαι, πρᾶξις ἄλλη Χριστοῦ, καὶ ἄλλο μυστήριον». (Κεφ. λζ΄.)

«Ἔστι πρώτη προσβολή, ἔπειτα συνδυασμός, εἶτα συγκατάθεσις, ἔπειτα αἰχμαλωσία, εἶτα πάθος ποιωθὲν συνηθείᾳ καὶ συνεχείᾳ· ἰδοὺ δὴ τῆς καθ᾽ ἡμῶν πάλης ἡ νίκη. Οὕτω γὰρ καὶ παρὰ τῶν ἁγίων Πατέρων ὁρίζεται». (Κεφ. λδ΄.)

«Καὶ προσβολὴν μὲν εἶναί φασιν λογισμὸν ψιλόν, ἢ εἰκόνα πράγματος τυχὸν νεοφανῶς γεννηθεῖσαν, ἐν τῇ καρδίᾳ καὶ τῷ νῷ παρα-

φαινομένην. Συνδυασμὸν δὲ τὸ συλλαλῆσαι τῷ φανέντι κατὰ πάθος, ἢ ἀπαθῶς. Συγκατάθεσιν δὲ νεῦσιν ἐνήδονον τῆς ψυχῆς πρὸ τὸ ὀφθὲν γινομένην. Αἰχμαλωσίαν δὲ βιαίαν καὶ ἀκούσιον τῆς καρδίας ἀπαγωγήν, ἢ ἐπίμονον, καὶ τῆς ἀρίστης ἡμῶν καταστάσεως ἀφανιστικὴν συνουσίαν πρὸς τὸ τυχόν. Πάθος δὲ κυρίως λέγουσι τὸ χρόνῳ μακρῷ ἐμπαθῶς τῇ ψυχῇ ἐμφωλεῦον. Τούτων ἁπάντων τὸ μὲν πρῶτον ἀναμάρτητον· τὸ δὲ δεύτερον οὐ πάντως· τὸ δὲ τρίτον πρὸς τὴν τοῦ ἀγωνιζομένου κατάστασιν· ἡ δὲ πάλη ἢ στεφάνων, ἢ τιμωριῶν αἴτιος». (Κεφ. λε΄.)





ΠΕΡΙΟΔΟΣ ΤΕΤΑΡΤΗ

ΤΜΗΜΑ ΠΡΩΤΟΝ

Ἀπὸ τοῦ 850ου ἔτους μέχρι τοῦ 1206ου.

§. 279. Ὑποθέσεις τῆς διδασκαλίας.

Ἀπὸ τοῦ ἡμίσεως τοῦ ἐννάτου αἰῶνος ἤρξατο ἀποκαλύπτεσθαι ἐν τῷ Πάπᾳ ἐπὶ μᾶλλον καὶ μᾶλλον τὸ τῆς κοσμικῆς φιλαρχίας πνεῦμα, τὸ τοσοῦτον ἀπᾷδον τῷ τῆς χριστιανικῆς αὐταπαρνήσεως. Ἡ ἀμάθεια ἐταπείνου καὶ ἐταπείνωσε τόν τε κλῆρον καὶ τὸ ποίμνιον τῆς Δύσεως μέχρι καταπληκτικῆς τῶν ἠθῶν ἀκολασίας (1). Τοῦτο συνετέλεσε τὰ μέγιστα εἰς τὸ αὐξάνεσθαι καὶ κρατύνεσθαι ἐλευθέρως τὴν τοῦ Ποντίφηκος φιλαρχίαν. Ἡ ἀμάθεια τῆς Δύσεως κατώρθωσεν ἤδη κατὰ τὸ πρῶτον ἥμισυ τοῦ ἐννάτου αἰῶνος περιφρουρῆσαι τὴν φιλαρχίαν αὐτοῦ ψευδέσι δικαιώμασι καὶ προνομίοις(2). Ἡ δὲ παιδικὴ

(1) Ἐδουάρδ. βασιλ. τῆς Ἀγγλίας ἐν τῇ Ἐκκλησ. ἱστορ. τοῦ Ἰννοκεντ. Μέρ. Β. σελ. 92.

(2) Πρῶτον δοκίμιον τοιαύτης ταπεινῆς ἀπάτης ἦσαν τὰ γράμματα Κωνσταντίνου τοῦ Μεγάλου, ἀπαντῶντα ἤδη ἐν τῇ συλλογῇ τοῦ Ἰσιδώρου καὶ μνημονευόμενα ὑπὸ Ἰγκμάρου τοῦ Ρημῶν Ἀρχιεπ. (Ep. lib. III. c. 13). Κατόπιν ἐγένετο ἡ ψευδοϊσιδώρειος συλλογὴ α΄) τῶν Διατάξεων, τῶν δῆθεν ὑπὸ τῶν Παπῶν τῶν τριῶν πρώτων αἰώνων ἐκδοθεισῶν· β΄) τῶν συνοδ. κανόνων· γ΄) τῶν Διατάξεων, τῶν ἀπὸ Σιλβέστρου μέχρι Γρηγορίου ἐκδοθεισῶν, καὶ κύριον σκοπὸν ἐχουσῶν τὴν τῶν δικαιωμάτων τῶν Παπῶν ἀνύψωσιν. Ἡ συλλογὴ ἐφάνη μεταξὺ τοῦ 829 καὶ 845, διότι ἐν ταῖς ἐπιστολαῖς τοῦ Οὐρβανοῦ καὶ Ἰωάννου τοῦ Γ΄ κατεχωρίσθησαν οἱ κανόνες τῆς ἐν Παρισίοις τῷ 829 συγκροτηθείσης Συνόδου· ὁ δὲ Π. Νικόλαος τῷ 865

κατάληψις τῶν δογμάτων τῆς πίστεως, ἧς ὑψηλότερον σπανίως ἀνήρχετο ἡ Δύσις καὶ κατὰ τοὺς ἀρίστους αὐτῆς χρόνους, ἀπεκύησε τὴν τοιαύτῃ καταλήψει συγγνωστήν, καίπερ οὐκ ὀρθὴν οὖσαν, δοξασίαν περὶ τῆς καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος. Ἡ δὲ παντελὴς ἄγνοια τῆς ἑλληνικῆς γλώσσης ἐκράτυνεν ἐπὶ μᾶλλον καὶ μᾶλλον τὴν δυσσεβῆ ταύτην δοξασίαν (1). Δυστυχῶς εἰς ἐπίρρωσιν ταύτης τῆς πλάνης οὐκ ὀλίγον συνετέλεσεν ἥ τε ἐκκλησιαστικὴ καὶ ἡ κοσμικὴ πολιτική (2). Παραπλησίως δ' ἀνεφάνησαν πολλαὶ ἀτοπίαι καὶ ἐν ταῖς ἱεροτελεστίαις. Τὸ δὲ πάντων καταπληκτικώτατόν ἐστιν, ὅτι ὅσῳ μᾶλλον ἀνεπτύσσετο ἐν τοῖς Πάπαις τὸ τῆς φιλαρχίας πνεῦμα, τοσούτῳ ῥᾷον ἐπολλαπλασιάζοντο ἐν τῇ Δύσει παντοῖαι αὐθαιρεσίαι (3). Σημειωτέον δὲ καὶ ὅτι ἀπὸ τοῦ χρόνου τού-

---

(ep. ad Gallos, Mans. XV. p. 694) ἤδη ἐξῆρε τὸ ἀπαραβίαστον τῆς ἁγιότητος τῶν Διατάξεων τοῦ ψευδοϊσιδώρου. Συγγραφέα τῶν γραμμάτων Κωνσταντίνου τοῦ Μεγάλου ἀνωμολόγει ὁ Αὐτοκράτωρ Ὄθων ὁ Γ΄ ἀδάκτυλόν τινα διάκονον Ἰωάννην ὀνομαζόμενον (Diplom. an. 999. Joannes diaconus cognomento digitorum mazilus (mulitus) praeceptum aureis litteris scripsit sub titulo Magni Constantini longa mendacii tempora finxit). Κατὰ τὸν De Marca ὁ διάκονος οὗτος ἔγραψε τὰ γράμματα ταῦτα κελεύσει τοῦ Πάπα Παύλου τοῦ Α΄ (de concodia Sacerdocii et imperii, seu de libertatibus Ecclesiæ gallicanæ lib. III. c. 12).

(1) Βλ. Prokopowitz Hist. controvers. de processione Spiritus s.

(2) Πρῶτος ἔπραξε τοῦτο ὁ Κάρολος, ὅς, ὑπὸ φιλάρχων σκοπῶν ἐλαυνόμενος, ἐσπούδαζε διαρρῆξαι πᾶσαν σχέσιν τῶν ἐν τῇ Δύσει χριστιανῶν πρὸς τοὺς ἐν τῇ Ἀνατολῇ. Ἐντεῦθεν ἐπεθύμει κρατῦναι τὴν μεταξὺ ἐκείνων (συναριθμῶν αὐτοῖς τοὺς ἐν Καλαβρίᾳ, Ἀπουλίᾳ, Σικελίᾳ, Δαλματίᾳ καὶ Πανονίᾳ οἰκοῦντας πολυαρίθμους Ἕλληνας καὶ Σλάβους) καὶ τούτων διαίρεσιν. Ἐντεῦθεν ἐπ' ἴσης συνεκρότει συνόδους, ἐν αἷς κατεδίκαζε τὴν προσκύνησιν τῶν εἰκόνων· ἐσπούδαζε παντὶ σθένει πεῖσαι τὸν Πάπαν Λέοντα τὸν Γ΄ ἀναγινώσκειν τὸ Σύμβολον μετὰ τῆς προσθήκης τοῦ *filioque*, καὶ ἔπειτα, καίπερ ἄκοντος τοῦ Πάπα, ἐφίκετο τοῦ σκοποῦ αὐτοῦ· ὁ Π. Νικόλαος ἔβη κατ' ἴχνος τοῦ Καρόλου.

(3) Πρβλ. τὴν τοῦ Φωτίου ἐγκύκλιον ἐπιστολὴν (τῷ 863) πρὸς τὴν ἐπιστολὴν Μιχαὴλ τοῦ Κηρουλαρίου (τῷ 1053) πρὸς τὸν Τρανῶν ἐπίσκοπον (Canis Antiquit. lect. T. III. p. 281).

του, ὁπότε ἐξεφάνθη τὸ τῆς κοσμικῆς φιλαρχίας πνεῦμα, ἤρξαντο ἰθύνειν τὴν Ἐκκλησίαν τῆς Ῥώμης οὐχὶ ἄνθρωποι, ἀλλὰ τέρατα, homines monstruosi, vita turpissimi, moribus perdissimi, usquequaque foedissimi, ὡς λέγει αὐτὸς ὁ Βαρώνιος (1). Τοιοῦτοι δ᾽ ἦσαν οἱ ἀπὸ τοῦ 805—1206 Πάπαι! Τούτων δ᾽ οὕτως ἐχόντων, οὐδαμῶς θαυμαστὸν ὅτι, καὶ ἡ Ἀνατολὴ τὸ μὲν πρῶτον κατὰ καιρούς, εἶτα δὲ πλεονάκις ἐσπούδαζε θεραπεῦσαι τὴν Δύσιν δι᾽ ἐλέγχων καὶ παραινέσεων, ἡ τῶν Παπῶν ἀγέρωχος φιλαρχία προσέκειτο μετ᾽ ἰσχυρογνωμοσύνης ταῖς δοξασίαις καὶ ταῖς ἀξιώσεσιν αὐτῆς (2).

Τὴν ἐσωτερικὴν εἰρήνην τῆς Ἀν. Ἐκκλ. διετάραξαν κατὰ τοῦτον τὸν χρόνον(850-1200)οἱ Π α υ λ ι κ ι α ν ο ὶ καὶ οἱ ἐξ αὐτῶν πηγάσαν-

(1) Anal. ad an. 897. Βλ. καὶ Luitprandi († 920) Hist. rerum in Europa, l. VI. in Mercator. rer. Ital. script. T. II. p. 1. (περὶ τῆς ἀξιοπιστίας Denkschrift. d. Academie zu München für 1809—10); Ditmari († 1018) Chron. ed Wagneri Novemb. 1807. Mariani Scoti († 1086) Chron., Lamberti Schafnab., Sigeperti († 1113) chron. in Pastor. rer. german. Script., Gieseler Kirchengesch. XIII. 12. I. Abth. §. 20-22.

(2) Βλ. περὶ Φωτίου καὶ Νικολάου τοῦ Μυστικοῦ καὶ ἄλ., περὶ Μιχαὴλ τοῦ Κηρουλαρίου βλ. Ἀλήθ. τῆς οἰκουμεν. Ἐκκλ. καὶ καθεδρῶν, σελ. 292-314. περὶ τῶν κατόπιν τυπικῶν σχέσεων σελ. 314-327. Ὡς πρότυπον τῆς ἀναισχύντου αὐθαδείας τῶν Παπῶν δύνανται χρησιμεῦσαι αἱ πράξαις τοῦ Π. Νικολάου, γράψαντος πρὸς τοῖς ἄλλοις: ψεύδονται, ὅτι δῆθεν τῇ ἡμέρᾳ τοῦ Πάσχα, κατὰ τὸ ἔθος τῶν Ἑβραίων, εὐλογοῦμεν καὶ τίθεμεν ἐπὶ τοῦ θυσιαστηρίου ἀμνὸν μετὰ τοῦ σώματος τοῦ Κυρίου». (ep. LXX. ad Hinc mar. an. 867). Οὐδαμῶς ψεύδονται, ἀλλ᾽ ἀληθεύουσιν. Ἰδοὺ τί λέγει ὁ Valafride Strabon.: «Ἡγοῦμαι πλάνην τὸ κατὰ τὴν ἡμέραν τοῦ Πάσχα τιθέναι τινὰς κρέας ἀμνοῦ παρὰ τὸ θυσιαστήριον καὶ ὑπ᾽ αὐτό, καὶ ἁγιάζειν εὐλογίᾳ .... Ἡ τελετὴ αὕτη γίγνεται παρά τισιν ἄχρι τοῦ νῦν». (lib. de reb. ecclesiasticis, c. 18). ὁ Πάπας καὶ οἱ καρδινάλεις ἤσθιον πανηγυρικῶς τὸν εὐλογημένον ἀμνόν. Ὁ Π. Νικόλαος γράφει ἔτι: «Σπουδάζει πεῖσαι, ὅτι παρ᾽ ἡμῖν ὁ διάκονος, μὴ λαβὼν τὸν βαθμὸν τῆς ἱερωσύνης, τάσσεται ἐν τοῖς ἐπισκόποις». Καὶ τοῦτο ἐγίγνετο. Βλ. Mabillon comment. in Ord. rom. in Museo ital. T. II. p. 119. Ὁ Πάπας ἐνετείλατο τῷ Ἰγκμάρῳ ἀνασκευάσαι τὴν ἐπιστολὴν τοῦ Φωτίου.

τες Εὐχῖται καὶ Βογόμιλοι(¹)· ἀλλ᾽ οἱ κατὰ τῶν ἐμπλήκτων τούτων αἱρετικῶν ἔλεγχοι ἦσαν πολλάκις ἐνεργέστεροι γενόμενοι διὰ τῶν μέτρων τῆς πολιτικῆς ἐξουσίας μᾶλλον, ἢ διὰ τῆς ἰσχύος, ἥτις ἠδύνατο ἀρυσθῆναι ἐκ τοῦ ἐσωτερικοῦ πνεύματος τῆς χριστιανικῆς θρησκείας. Ἡ διάταξις τῶν ἱεροτελεστιῶν καὶ τῆς ἐκκλησιαστικῆς εὐταξίας ἐξηκολούθη ἐφειλκύουσα τὴν προσοχὴν τῶν συγχρόνων μᾶλλον, ἢ ἡ ἑρμηνεία τῆς ἁγίας Γραφῆς, καὶ πολλῷ ἧττον ὁ ἐσωτερικὸς πνευματικὸς βίος. Τὴν τελευταίαν ἔλλειψιν ἐνόμιζον, ὅτι δύνανται ἀναπληρῶσαι γράφοντες βίους τῶν ἁγίων(²). Τῇ συγγραφῇ ἀπολογιῶν

(¹) Ἄννα ἡ Κομνηνὴ ἐναριθμεῖ τοὺς Βογομίλους τοῖς κατοίκοις τῆς Φιλιππουπόλεως, ὡς καὶ τοὺς Παυλικιανοὺς (Ἀλεξ. ΙΔ΄. σελ. 450). ὁ Ψελλὸς λέγει: «Ἔχει μὲν τὸ παλαμναῖον τοῦτο δόγμα παρὰ Μάνεντος τοῦ μανέντος τὰς ἀφορμάς. Ἐντεῦθεν γὰρ αὐτοῖς αἱ πλείους ἀρχαί, καθάπερ ἐκ πηγῆς τινος δυσώδους, ἐρρύησαν. Ἀλλὰ τῷ μὲν ἐπαράτῳ Μάνεντι δύο ὑπετέθησαν τῶν ὄντων ἀρχαί, Θεῷ Θεόν, δημιουργῷ τῶν ἀγαθῶν αὐτουργὸν κακίας, τῷ ἀγαθῷ ἄρχοντι τῶν οὐρανίων τὸν τῆς κακίας ἄρχοντα τῶν ἐπιγείων, πλημμελῶς ἀντιτάττοντες. Εὐχίταις δὲ τούτοις τοῖς κακοδαίμοσι καὶ ἑτέρα τις ἀρχὴ προσελήφθη τρίτη. Πατὴρ γὰρ αὐτοῖς, υἱοί τε δύο, πρεσβύτερος καὶ νεώτερος, ὡς ἀρχαί. Ὧν τῷ μὲν Πατρὶ τὰ ὑπερκόσμια μόνα, τῷ δὲ νεωτέρῳ τῶν υἱῶν τὰ οὐράνια, θατέρῳ δὲ τῷ πρεσβυτέρῳ τῶν ἐγκοσμίων τὸ κράτος, ἀποτετάχασι· ὃ κατὰ μηδὲν ἐστι τῆς ἑλληνικῆς μυθολογίας ἀπολειπόμενον . . . . Οἱ δὲ θατέρῳ τῷ νεωτέρῳ λατρεύουσιν, ὡς τῆς κρείττονος καὶ ὑπερκειμένης μερίδος κατάρχοντι· τὸν πρεσβύτερον οὐκ ἀτιμάζοντες μέν, φυλαττόμενοι δὲ αὐτόν, ὡς κακοποιῆσαι δυνάμενον» (περὶ ἐνεργ. δαιμ. διάλογ.).

(²) Ἐκτὸς τῶν ἑλληνικῶν βιογραφιῶν τοῦ Μεταφραστοῦ γνωστά εἰσιν ἐν τῇ ἀρμενικῇ φιλολογίᾳ: α΄) τὸ ἡμερολόγον (γισμαβοὺρκ) μεταφρασθὲν εἰς τὴν ἀρμ. γλῶσσαν ἐκ τῆς συριακῆς ὑπὸ τοῦ Κακίγου καὶ τοῦ διακόνου Γρηγορίου κατὰ τὸν ἔννατον αἰῶνα (ἐξεδόθη ἐν Κωνσταντινουπόλει τῷ 1706)· β΄) τὸ μαρτυρολόγιον, συνταχθὲν ἐν τῷ αὐτῷ αἰῶνι κατ᾽ ἀρμεν. καὶ συρ. βιογραφίας· γ΄) βιογραφίαι τῶν ἁγίων, μεταφρασθεῖσαι ἐκ τῆς συρ. γλώσσης καὶ τῆς ἑλλην. ὑπὸ τοῦ Καθολικοῦ Γρηγορίου τοῦ Β΄ κατὰ τὸν ια΄ αἰῶνα, καὶ δυνάμεναι, κατὰ τοὺς Μεχιταριστὰς συμπληρῶσαι ἐν πολλοῖς καὶ ἐπιδιορθῶσαι τὸ πόνημα τῶν Βολλανδιστῶν (Neumann Gesch. d. Armen. Litterat. §. 118. 119. 145). Ἐν τῇ Δύσει ἐγράφησαν κατὰ τοῦτον τὸν χρόνον πολλὰ Συναξάρια.

ὑπὲρ τῶν ἀληθειῶν τῆς εἰς Χριστὸν πίστεως ἐπεχείρησαν τότε μόνον, ὅτε κατεῖδον ὅσον ἦν βλαβερὰ τοῖς τε πνεύμασι καὶ τῇ ἠθικῇ ἡ πρὸς τὴν χριστιανικὴν ἐκπαίδευσιν ἀδιαφορία. Ἐν τοσούτῳ ὁ Ἀραβισμὸς ἐκάκου ἀδιαλείπτως τὴν Ἐκκλησίαν.

§. 280. Ἐκπαίδευσις.

Μετὰ τὸν Φώτιον οἱ Αὐτοκράτορες Λέων καὶ Κωνσταντῖνος ἠγάπησαν θερμῶς τὰς ἐπιστήμας (1). Κατὰ τὸν ια΄ καὶ ιβ΄ αἰῶνα, παρ' ἁπάσας τὰς ἐν τῇ Αὐτοκρατορίᾳ ἀταξίας, ἃς κατὰ μὲν τὸν ια΄ ἐποιοῦντο φαῦλαι γυναῖκες (ἡ Ζωή, ἡ Θεοδώρα καὶ ἡ Εὐδοκία), κατὰ δὲ τὸν ιβ΄ οἱ Σταυροφόροι καὶ ὁ οἶκος τῶν ὠμῶν Ἀγγέλων, ἡ Ἑλλὰς ἀνεζωπυρήθη οὐκ ὀλίγον ὑπὸ τοῦ φωτὸς τῆς παιδείας, ᾗ ἐδόθη ἰσχυρὰ ὤθησις κατ' ἐξοχὴν ὑπό τε τοῦ ζήλου καὶ τῶν πνευματικῶν χαρισμάτων τοῦ Ψελλοῦ, ᾧ ἠκολούθησαν οὐκ ὀλίγοι ἐπὶ σοφίᾳ διαπρεπεῖς γενόμενοι ἄνδρες (2). Δυστυχῶς δὲ ὁ παρ' ἅπασι πρὸς τὴν ἔξω σοφίαν ἐξεγερθεὶς ἔρως, οὐκ ὀλίγον συνετέλεσεν εἰς τὴν παρακμὴν τῆς χριστιανικῆς ἐκπαιδεύσεως. Οὐ μὴν ἀλλὰ ἡ εὐσέβεια, ὑφ' ἧς κατείχοντο ἅπασαι αἱ τάξεις τῆς Αὐτοκρατορίας, ἐπέσχε τὸν ἐκ τούτου ἐπικρεμασθέντα τῇ χριστιανικῇ πίστει κίνδυνον (3). Ἐν-

(1) Περὶ Λέοντος τοῦ φιλοσόφου βλ. Oudini Comment. II. 421. 894. Περὶ Κωνσταντ. τοῦ Πορφυρογεννήτου βλ. Κεδρηνόν.

(2) Ὁ Ψελλὸς ἀνασκευάζων τὰς κατ' αὐτοῦ συκοφαντίας τῶν ἐχθρῶν αὐτοῦ, ἔγραφε τῷ μαθητῇ αὐτοῦ Αὐτοκράτορι Μιχαήλ: ὁρᾷς τοῦτον τὸν ἱερὸν σύλλογον τῶν φιλοσόφων; Ἅπαντές εἰσι φυτὰ τῶν ἐμῶν πόνων. ἅπαντες ἔπιον ἐκ τῆς ἐμῆς πηγῆς· τὸ σβεσθὲν φῶς τῆς φιλοσοφίας ἀνήφθη ὑπ' ἐμοῦ . . . ἐμερίμνησα περὶ τῶν γραμμάτων, τῆς φιλοσοφίας, ἐξέμαθον τὰ μαθηματικά . . . . Βλ. Oudini II. 654.

(3) Αὐτὰ τὰ κατὰ τοὺς αἰῶνας τούτους συγγραφέντα βιβλία καταδεικνύουσι τοῦτο. Μιχαὴλ ὁ Ψελλὸς δηλῶν τὴν ἑαυτοῦ λύπην ἐπὶ τῷ ὅτι ἡ πατρὶς ὀλίγον ἀναγινώσκει τὸν Ὅμηρον, λέγει, ὅτι μέγας ἐκ τούτου ἐπικρέμαται αὐτῇ κίνδυνος. Ἡ φιλοσοφία καὶ ἡ ἐξηγητικὴ ἠσχολοῦντο περὶ τὴν εἰς τὸν Ὅμηρον, καὶ ἄλλους ἐθνικοὺς ποιητὰς καὶ συγγραφεῖς ἑρμηνείαν. Τὰ εἰς τὴν ἁγίαν Γραφὴν ὑπομνήματα οὐδὲν ἄλλο ἦσαν, ἢ ἐκλογαὶ ἐκ τῶν κατὰ τοὺς παρελθόντας αἰῶνας γραφέντων. Ἡ φιλοσοφία ὀλίγον ἠτένιζεν εἰς τὰ βάθη τοῦ ἀνθρωπίνου πνεύματος καὶ τῆς χριστιανικῆς πί-

τεῦθεν ἤκμασαν κατὰ τοὺς δύο τούτους αἰῶνας ἐν τῇ ἑλληνικῇ Ἐκκλησίᾳ οὐκ ὀλίγοι δευτερεύοντες διδάσκαλοι (1).

στεως. Κύριον αὐτῆς μέλημα ἦν τὸ ὑπομνηματίζειν τὸν Ἀριστοτέλη.

(1) Σημειωτέον, ὅτι πάνυ δυσχερὲς τὸ λαβεῖν ἀκριβῆ ἔννοιαν τῶν διδασκάλων τούτου τοῦ χρόνου καὶ τῶν συγγραμμάτων αὐτῶν, ἅτε δὴ τῶν τελευταίων, ἐκτὸς ὀλίγων, μενόντων ἄχρι τοῦ νῦν ἐν χειρογράφοις. Ἐντεῦθεν μνημονευτέοι οἱ ἑξῆς συγγραφεῖς: α΄) οἱ βιογράφοι· Εὐόδιος, γράψας τὰ πάθη τῶν συγχρόνων αὐτῷ 42 μαρτύρων (τῷ 841), Σάββας ὁ μοναχός, γράψας τὸν βίον τοῦ συγχρόνου αὐτῷ Ἰωαννικίου τοῦ Μ. † 845, καὶ ἄγνωστός τις συγγραφεύς, γράψας τὸν βίον τοῦ ὁσίου Ἀθανασίου συγχρόνου τῷ Ἰωαννικίῳ, Βασίλειος ὁ Ἐμέσσης, γράψας τὸν βίον τοῦ θείου αὐτοῦ Θεοδώρου τοῦ Ἐδέσσης, († 846), δ΄) Γεώργιος ὁ Νικομηδείας Μητροπολίτης († 880), γρ. περὶ τοὺς 170 λόγους, ἐξ ὧν ἐξεδόθησαν ὀκτὼ ἑορταστικοί, ᾀσματικὰ καλλιεπῆ τροπάρια, καὶ διήγησιν περὶ τῆς ζώνης τῆς Θεοτόκου· γ΄) Μάρκος ὁ Ὑδροῦντος ἐπίσκ., περὶ τὸ 912, συμπληρωτὴς τοῦ Τυπικοῦ (κεφ. Μάρκου), καὶ ὑμνογράφος· δ΄) Νικήτας ὁ Παφλαγών, σύγχρονος τῷ Φωτίῳ, γρ. μετὰ τὸ 880 τὸν βίον τοῦ Π. Ἰγνατίου, λόγ. ἐγκωμ. εἰς ἁγίους, στίχους καὶ ὕμνους· ε΄) Ἀρέθας Ἀρχ. Καισαρείας, γρ. ἑρμηνείαν εἰς τὴν Ἀποκάλυψιν, περὶ τῆς ἀνακομιδῆς τοῦ Π. Εὐθυμίου, καὶ λόγ. εἰς τοὺς μάρτ. Γουρίαν, Σαμωνᾶν, καὶ Ἄβιβον· ζ΄) Βασίλειος Ἀρχ. Καισαρείας, περὶ τὸ 940, σχολιαστὴς τῶν λόγων Γρηγ. τοῦ Ναζ. καὶ ὑμνογράφος· η΄) βιογράφοι· 1) ἀνώνυμος μοναχός, γρ. τὸν βίον τοῦ ὁσίου Πατρὸς ἡμῶν καὶ ὁμολογ. Νικολάου, ἡγουμένου τῆς εὐαγεστάτης μονῆς τοῦ Στουδίου· 2) ἄγνωστος γράψας ἐκ λόγων ἀσκητῶν τὸν βίον Λουκᾶ τοῦ ἐν τῇ Στειρίῳ τῆς Ἑλλάδος· 3) Νικηφόρος, πρεσβύτερος τοῦ ναοῦ τῆς ἁγίας Σοφίας, βιογράφος Ἀνδρέου τοῦ Σαλοῦ † 950. 4) Γρηγόριος, βιογράφος τοῦ διδασκάλου αὐτοῦ Βασιλείου τοῦ νέου † 952. θ΄) Λέων ὁ Βουλγαρ. Ἀρχιεπ. περὶ τὸ 1040, γρ. περὶ ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος, περὶ ἀζύμων, καὶ κεφάλ. περὶ ἀκουσίων ἁμαρτημάτων· ι΄) Πέτρος Π. Ἀντιοχείας, τῷ 1043, γρ. ἐπιστ. πρὸς τὸν Κηρουλάριον καὶ πρὸς Δομίνικον τὸν Ἀρχιεπ. Γρανδέσης· ια΄) Νικήτας ὁ Στηθάτος, περὶ τὸ 1050, γρ. κατὰ Λατίνων, ἠθικὰ κεφάλαια, καὶ βίον Συμεῶνος τοῦ νέου θεολόγου· ιβ΄) Μιχαὴλ ὁ Ψελλός, ἐπὶ Κωνσταντίνου τοῦ Μονομάχου (1042-1054), καθηγητὴς τῆς φιλοσοφίας, γερουσιαστής,

Τὸ φῶς τῆς καθαρᾶς χριστιανικῆς ἐκπαιδεύσεως ἔλαμψεν ἐξ Ἀνατολῆς τοῖς σλαβικοῖς λαοῖς, εἰ καὶ ἡ τύχη αὐτῆς μεταξὺ πολλῶν

διδάσκαλος τῶν παίδων Κωνσταντίνου τοῦ Δούκα (1059-1067), γρ. ἑρμηνείαν κατὰ παράφρασιν εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων, ἑτέραν ἐξήγησιν εἰς αὐτὸ διὰ στίχων πολιτικῶν, διδασκαλίαν παντοδαπήν, ἐπιλύσεις συντόμους φυσικῶν ζητημάτων, στίχους πολιτικοὺς πρὸς τὸν βασιλέα κύριον Μιχαὴλ τὸν Δοῦκαν, περὶ ἐνεργείας δαιμόνων διάλογον, τίνα περὶ δαιμόνων δοξάζουσιν Ἕλληνες; περὶ λίθων δυνάμεων, χαρακτῆρας Γρηγορίου τοῦ Θεολόγου, τοῦ Μ. Βασιλείου, τοῦ Χρυσοστόμου καὶ Γρηγορίου τοῦ Νύσσης, στίχους εἰς τοὺς ἁγίους τρεῖς ἱεράρχας, λόγον ἐγκωμιαστικὸν εἰς Συμεῶνα τὸν Μεταφραστήν, μονῳδίαν εἰς τὴν τῆς ἁγίας Σοφίας σύμπτωσιν, ἀντιγραφὴν πρὸς ἐρώτησίν τινος μοναχοῦ περὶ ὁρισμοῦ τοῦ θανάτου, περὶ τοῦ Νομοκάνονος καὶ τῶν Συνόδων πρὸς τὸν Αὐτοκράτορα Μιχαὴλ τὸν Δοῦκαν, σύνοψιν τῶν νόμων διὰ στίχων ἰάμβων καὶ πολιτικῶν, πρὸς τοὺς μαθητὰς περὶ τῶν ὀνομάτων τῶν δικῶν, περὶ καινῶν δογμάτων καὶ ὅρων τῶν νομικῶν ρωμαϊστὶ λεγομένων λέξεων, δόξας περὶ ψυχῆς ὅτι τὰ κινήματα τῆς ψυχῆς ἐοίκασι ταῖς τῶν οὐρανίων κινήσεσιν, εἰς τὴν ψυχογονίαν τοῦ Πλάτωνος, μαγικὰ λόγια τῶν ἀπὸ Ζωροάστρου μάγων, ἔκθεσιν κεφαλαιώδη καὶ σύντομον τῶν παρὰ Χαλδαίοις δογμάτων, εἰς τὸν Ἑρμοῦ τοῦ Τρισμεγίστου Ποιμάνδρην, περὶ τῶν ἀθηναϊκῶν τόπων καὶ ὀνομάτων, εἰς τὸν χαλκοῦν ἵππον τὸν ἐν τῷ Ἱπποδρομίῳ ἀπῃωρημένον τὸν πόδα ἔχοντα, ἐπιστολάς . . . . ιγ´) Νικήτας ὁ Σερρῶν, εἶτα δὲ καὶ Ἡρακλείας Ἀρχιεπ., συντάξας Σειρὰς εἰς τὸν Ἰώβ, τὸν Λουκᾶν καὶ τοὺς ἄλλους Εὐαγγελιστάς, ἐξηγητικὰ σχόλια εἰς τοὺς λόγους Γρηγορίου τοῦ Θεολόγου, εἰς τὰ τετράστιχα, τὰ μονόστιχα καὶ τὰ ἐπιγράμματα αὐτοῦ (περὶ τῶν ἄλλων αὐτοῦ συγγραμμάτων βλ. Oudini II. 715)· ιδ´) Ἰωάννης ὁ Ξιφιλῖνος, ἀπὸ τοῦ 1065 — 1078 Π. Κωνσταντινουπόλεως, γρ. λόγους (Taurini Bibl. c. XL. μετὰ 53 λόγ., Mosquens. Synod. Bibl. C. XLVI. Á. 262)· ιε´) Νίκων, μοναχός, καὶ εἶτα ἡγούμ. τῆς μονῆς τῆς Θεοτόκου τῆς Ραϊθοῦς, μετὰ τὴν ἐξ αὐτῆς ἔξωσιν ζήσας ἐν τῇ μονῇ Συμεῶνος τοῦ Θαυμαστορείτου, τῆς καλουμένης Μαῦρον ὄρος, παρὰ τὴν Ἀντιόχειαν (ἐπ. ιθ´ Γερασίμῳ), καὶ ἐντεῦθεν τῷ 1088 γράψας κελεύσει τοῦ Πατριάρχου συλλογὰς τῶν κανόνων, τῆς εὐταξίας, καὶ τῆς ἠθικῆς (ἐπ. λη´ Συμεῶνι, Πρόλ. εἰς τὴν Πανδέκτην), τυπικὸν ἐκ 40 κεφαλ., περὶ μοναστηρίων, αἱρέσεων, νηστίας, καὶ ἀρετῶν. Τὰ

ἐξ αὐτῶν ἐπεσχέθη ὑπὸ τῶν πολιτικῶν συμφορῶν. Ἐν Ῥωσσίᾳ ἀπὸ τῶν χρόνων τοῦ ἰσαποστόλου Βλαδιμήρου (τῷ 987) οἵ τε ποιμένες

δύο πρῶτα βιβλία εἰσὶ γνωστὰ ἐξ ἑλλην. καὶ σλαβ. χειρογρ. (Fabric. XI. 276), τὸ δὲ τρίτον σώζεται μόνον ἐν τῇ ἀραβ. μεταφρ. (A. Maii Vet. Auci. IV. p. 158)· ις′) Ἀντώνιος, ὁ ἐκ τῶν λόγων αὐτοῦ Μέλισσα ἐπικληθείς, μοναχός, περὶ τὸ 1080, γρ. 100 ἠθ. κεφάλ. ιζ′) Φίλιππος ὁ μονοχός, γρ. τῷ 1090 πρὸς Καλλίνικον τὸν μοναχὸν τὴν Διόπτραν· ιη′) Ἰωάννης Π. Ἀντιοχείας, περὶ τὸ 1095, γρ. περὶ προσφορῶν ἐν τῇ Μονῇ, περὶ μνήμης θανάτου καὶ περὶ προσευχῆς, ἐκλογὰς κατὰ Λατίνων. Πόνημα αὐτοῦ εἰσι καὶ αἱ ἀποκρίσεις εἰς τὰς περὶ τῆς ἁγίας Τριάδος ἐρωτήσεις, ἐκδοθ. ἐν τοῖς συγγράμμασι τοῦ ἁγίου Ἀθανασίου· ιθ′) Εὐθύμιος ὁ Ζηγαβηνός, ἀκμάσας ἐπὶ Ἀλεξίου τοῦ Κομνηνοῦ (τῷ 1118), καὶ γράψας τὴν κατὰ πασῶν τῶν αἱρέσεων δογματ. Πανοπλίαν, ἑρμηνείαν εἰς τὰ τέσσαρα Εὐαγγέλια, εἰς τοὺς ψαλμοὺς τοῦ Δαυΐδ, καὶ εἰς τὰς ᾠδὰς τῆς ἁγ. Γραφῆς· κ′) Ἰωάννης ὁ Ζωναρᾶς, ἀκμ. ἐπὶ Ἀλεξ. τοῦ Κομνηνοῦ, πρωτοασκρῆτις καὶ μέγας Δρουγγάριος, ἔπειτα μον. ἐν Ἄθῳ, γρ. ἐπιτομὴν ἱστοριῶν, ἐξήγησιν τῶν ἱερῶν καὶ θείων κανόνων τῶν τε ἁγίων καὶ σεπτῶν Ἀποστόλων καὶ τῶν ἱερῶν οἰκουμεν. Συνόδων, ἀλλὰ μὴν καὶ τῶν λοιπῶν ἁγίων Πατέρων, ἐξήγησιν τῶν ἀναστασίμων κανόνων τοῦ Δαμασκηνοῦ, κανόνα εἰς τὴν ὑπεραγίαν Θεοτόκον, οὗ ἡ ἀκροστιχίς: ὕστατος ἦχος ὕστατον πλέκει μέλος, λόγον εἰς τὴν Σταυροπροσκύνησιν, βίον τοῦ ἁγ. Σιλβέστρου, ὑπόμνημα εἰς τὴν Ὑπαπαντὴν τοῦ Σωτῆρος, εἰς τὸν Ἱεροσολύμων Σωφρόνιον, καὶ ἄλλα τινά. κα′) Ἰάκωβος ὁ μοναχός, ἔπειτα Βουλγαρίας Ἀρχιεπ., ἐπὶ Ἀλ. τοῦ Κομνηνοῦ, γρ. 48 ἐπιστολὰς πρὸς τὴν Αὐτοκράτειραν Εἰρήνην, 6 ὁμιλίας, στίχους περὶ τῶν συμφορῶν τῆς ζωῆς (Fabric. XI. 637). κβ′) Εὐστράτιος, Νικαίας Μητροπολ., ἐπὶ Ἀλ. τοῦ Κομνηνοῦ, γρ. τὴν κατὰ τοῦ Χρυσολάνου περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγ. Πνεύματος πραγματείαν. Ὁ αὐτὸς ἔγραψε καὶ εἰς τὰ Ἠθικὰ Νικομάχεια τοῦ Ἀριστοτέλους καὶ ἐπὶ τῶν Ἀναλυτικῶν τῶν Ὑστέρων ἐκδοθ. ὑπομνήματα· κγ′) Νικηφόρος ὁ μοναχός, περὶ τὸ 1120, γρ. περὶ φυλακῆς τῆς καρδίας· κδ′) Νεῖλος ὁ Δοξαπατρῆς, πρωτοσύγκελος καὶ ἀρχιμανδρίτης, γρ. κατ' αἴτησιν τοῦ βασιλέως τῆς Σικελίας Ῥογερίου (τῷ 1144) περὶ ἑδρῶν τῶν μειζόνων Πατριαρχῶν, καὶ κατ' ἐντολὴν Ἰωάννου τοῦ Κομνηνοῦ τὸν Νομοκάνονα· κε′) Θεοφάνης ὁ Κεραμεὺς Ἀρχιεπ. τοῦ κατὰ

καὶ οἱ ἡγεμόνες ἐμερίμνησαν περὶ τῆς διαδόσεως τοῦ φωτὸς τοῦ Χριστοῦ. Εἰ καὶ ἡ πολιτικὴ κατάστασις τῆς Ρωσσίας οὐδαμῶς ἦν πρόσφορος εἰς τὴν ἐκπαίδευσιν τῆς χώρας, ὅμως ἡ ρωσσικὴ Ἐκκλησία ἐκτήσατο κατὰ τὸν ια΄ καὶ ιβ΄ αἰῶνα οὐκ ὀλίγους ἐπὶ σοφίᾳ διαπρεπεῖς διδασκάλους.

§. 281. Ὁ Πατριάρχης Φώτιος· α΄) ἐν τῷ βίῳ ἐπὶ τοῦ Αὐτοκράτορος Μιχαήλ·

Φώτιος Π. Κ]πόλεως, μέγας ποιμὴν τῆς ὀρθοδόξου Ἐκκλησίας καὶ σοφὸς διδάσκαλος ἦν Ταρασίου τοῦ ἁγίου Πατριάρχου ἀνεψιός, τοῦ αὐτοκρατορικοῦ οἴκου συγγενής, μαρτύρων τῆς ὀρθοδοξίας υἱός, καὶ αὐτὸς ὁμολογητὴς ἐπὶ τῶν εἰκονομάχων(¹). Ὁ Φώτιος, σπανιωτάτης λαχὼν μεγαλοφυίας, ἐξεμάνθανε τὰς ἐπιστήμας μετὰ διαπύρου ἔρωτος καὶ θαυμαστὸν ὅσον προέκοπτεν ἐν αὐταῖς· ἐξεμάνθανε

Σικελίαν Ταυρομενίου, ἐπὶ τοῦ βασιλέως Ρογήρου, γρ. 62 ὁμιλίας· κς΄) Βασίλειος, Ἀρχιεπ. Θεσσαλ. ἐπὶ τοῦ Π. Ἀδριανοῦ τοῦ Δ΄(1154-59), γρ. κατὰ Λατίνων· κζ΄) Θεωριανός, πεπαιδευμένος μοναχός, μεταβὰς τῷ 1175 εἰς Ἀρμενίαν, κατ' ἐντολὴν τοῦ Αὐτοκρατ. Μανουὴλ τοῦ Κομνηνοῦ, ὅπως ἐλέγξῃ τὰς πλάνας τῶν Ἀρμενίων (Διάλογ. πρὸς Καθολικὸν gr. lat. a Ducaeo in Auct. Paris 1624. Dial. II. in Maii Collect. V· Auct. VI. Romae, 1832)· κη΄) Εὐστάθιος ὁ Θεσσαλονίκης, ἀκμ. ἐπὶ Μανουήλ, Ἀλεξίου καὶ Ἀνδρονίκου τῶν Κομνηνῶν, κατὰ τὴν κοσμικὴν σοφίαν περικλεέστατος, γρ. παρεκβολὰς εἰς τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν, λόγους καὶ ἐπιστολάς· κθ΄) Θεόδωρος ὁ Βαλσαμών, Π. Ἀντιοχείας, διαπρεπὴς κανονομαθής, γρ. σχόλια εἰς τοὺς κανόνας τῶν Συνόδων, καὶ εἰς τὸν Νομοκάνονα τοῦ Φωτίου, συλλογὴν τῶν ἐκκλησιαστικῶν Διατάξεων, ἀποκρ. εἰς 64 ἐρωτήσεις Μάρκου τοῦ Ἀλεξανδρείας, ἐπιστολ. περὶ νηστείας, περ ρασσοφόρων (Cotel. Monum. Tὶ II. III. Paris. 1683).

(¹) Ἀνεθεμάτισαν ἡμᾶς χρόνοις μακροῖς πᾶσα σύνοδος αἱρετικὴ καὶ πᾶν εἰκονομάχων συνέδριον· οὐχ ἡμᾶς δὲ μόνον, ἀλλὰ καὶ Πατέρα καὶ θεῖον ἡμέτερον (δηλ. τὸν ἅγιον Ταράσιον τὸν Π.), ἄνδρας ὁμολογητὰς τοῦ Χριστοῦ καὶ Ἀρχιερέων σεμνολόγημα». ἐπιστ. ριγ΄ ἔκδ. Μοντακ. Πρβλ. σλδ΄. Ἐν τῇ Ἐγκυκλίῳ ἐπιστ. πρὸς τοὺς τῆς Ἀνατολῆς Ἀρχιερατ. θρόνους, §. 42. ἀποκαλεῖ τὸν ἅγ. Ταράσιον Πατρόθειον. Τόμ. χαρ. σελ. 15.

τὴν φιλολογίαν, τὴν φιλοσοφίαν, τὴν δικανικήν, τὴν ἰατρικήν, τὴν ἱστορίαν, ἀλλ' οὐ μόνον οὐ παρεώρα τὴν ἁγίαν πίστιν, ἀλλὰ καὶ περὶ πλείστου ἐποιεῖτο αὐτήν (1). « Ἴσθι, ἔγραφε τῷ φίλῳ αὐτοῦ Λέοντι πρωτοσπαθαρίῳ, ὡς οὐ μόνον τῷ τλησπαθεῖ Ἡρακλεῖ, ἀλλὰ καὶ τῷ λογίῳ Ἑρμῇ τὸ τῆς Ἀμαλθείας κέρας οἱ ποιηταὶ ἐγχειρίζουσιν .... ἀλλὰ καὶ ταῖς ἡμετέραις εὐγενέσι Μούσαις, (αἳ τῶν ἑλληνίδων τοσοῦτον διαφέρουσιν, ὅσον ἐλεύθεραι φύσεις δούλων ἠθῶν, καὶ κολακείας ἀλήθεια) δίδου κἂν ἐν μέρει τὰ σεμνὰ καὶ ἡδέα τῶν ᾀσμάτων κατεπᾴδειν σοι .... τὴν δὲ ἀληθῆ καὶ θείαν εὐδαιμονίαν, καὶ ἀνθρώπῳ πρέπουσαν, καὶ πρὸς ἣν ἡ Ἀμάλθεια παρατιθεμένη, νόσος καὶ πενία εὑρίσκεται, ἐκ μόνων ἐστὶ τῶν θείων λογίων καὶ τῆς ἐκεῖθεν γεωργίας ἀμήσασθαι». (*). Ὁ διάδοχος τοῦ θρόνου Μιχαὴλ καὶ ὁ μέλλων φωτιστὴς τῶν Σλάβων ἅγιος Κύριλλος ἐγένοντο μαθηταὶ αὐτοῦ (2). Παρὰ τῇ αὐλῇ ἦν πρωτοσπαθάριος (ἀρχηγὸς τῶν αὐτοκρατορικῶν σωματοφυλάκων) καὶ πρωτοασηκρῆτις (πρῶτος τῶν ἐξ ἀπορρήτων) (3). Ὢν ἔξοχος πολιτικὸς καὶ διπλωμάτης, ἐπρέσβευσεν εἰς Ἀσσυρίαν ἐπιταγῇ τοῦ Αὐτοκράτορος Μιχαὴλ (4). Εἰ καὶ ὁ κοσμικὸς αὐτοῦ βίος ἦν τοσοῦτον λαμπρός, ὅμως οὐ παρεσύρετο ὑπ' αὐτοῦ. Παῖς ἔτι ὢν ἐφίετο ἀσπάσασθαι τὴν μοναχικὴν πολιτείαν, ὅπως γένητε ἄξιος υἱὸς τῶν ὁμολογητῶν γεννητόρων (5).—Κατὰ τὸν Νοέμβριον τοῦ 857ου ἔτους

(1) Τοῦτο δεικνῦσι τὰ συγγράμματα αὐτοῦ Βλ. ἐπιστ. ρξε', ρξς', ροθ' σκγ' ρκδ' ἔκδ. Μοντακ.

(*) Ἐπ. σθ' ἔκδ. Μοντακ.

(2) Βλ. περὶ Κυρίλλου καὶ Μεθοδίου.

(3) Ἰωάννης ὁ διάκονος λέγει ἐν τῷ βίῳ τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωσὴφ τοῦ Ὑμνογράφου : « ..... ὁ Φώτιος, ὃς τῆς συγκλήτου βουλῆς ἐτύγχανε τὸ πρωτεῖον ἐπιφερόμενος.

(4) Πρόλογ. ἡ ἐπ. τῷ ἀδελφῷ Ταρασίῳ περὶ τῆς Βιβλιοθήκης, ἣν συνέγραψε κατὰ τὸν χρόνον τῆς πρὸς Ἀσσυρίους πρεσβείας, καὶ ἣν προσεφώνησεν αὐτῷ.

(5) Ἐν τῇ ἐνθρονιστικῇ ἐπιστολῇ πρὸς τὸν θρόνον Ἀντιοχείας λέγει : « Νεαρᾶς μὲν οὖν ἔτι τῆς ἡλικίας οὔσης, ἔρως τοῦ μονήρους συνήκμαζε βίου, εἰ καὶ τῶν οἰκείων τρόπων πρὸς αὐτὸν ἡ διαφωνία τῷ τοιούτῳ ἀντιπράττουσα ἔρωτι μέχρι πολλοῦ τὰ τῆς ἐπιθυμίας διετίθει ἀνενέργητα, καίτοι πολλῶν ὑπαρχουσῶν ὑποθέσε-

ἐπῆλθεν αἰφνιδία μεταβολή.— Ὁ Καῖσαρ Βάρδας ἐξέωσε τοῦ θρόνου τὸν Πατριάρχην Ἰγνάτιον, ἐξυβρίσαντα αὐτὸν δημοσίᾳ καὶ κηρύξαντα ἀνάξιον τῆς τῶν ἀχράντων μυστηρίων κοινωνίας, ὅτι τὴν ἰδίαν ἀποπέμψας σύζυγον, συνῴκει τῇ ἑαυτοῦ νύμφῃ, ἤδη τετελευτηκότος αὐτῷ τοῦ υἱοῦ. Οἱ ἐπίσκοποι κατέκριναν τὸν Βάρδαν ἐπὶ τῇ ἐκ τοῦ θρόνου ἐξώσει τοῦ Ἰγνατίου· ἀλλὰ μετὰ μακρὰν σύσκεψιν πέντε μόνον αὐτῶν οὐκ ἦσαν ἐν τοῖς βουλομένοις ἰδεῖν Πατριάρχην τὸν Φώτιον, εἰ καὶ ἀνωμολόγουν τήν τε εὐσέβειαν καὶ τὴν σοφίαν αὐτοῦ (1). Ὁ Φώτιος οὐδαμῶς ἐφίετο τοῦ ὑψηλοῦ τούτου πνευματικοῦ ἀξιώματος, καὶ κατανοῶν τὸ βάρος αὐτοῦ καὶ τὸ πνεῦμα τοῦ χρόνου, οὐκ ἠβούλετο ἀποδέξασθαι τὴν ἐκλογήν. Ἀλλ᾽ ὁ Βάρδας καὶ ὁ Αὐτοκράτωρ ἐβούλοντο ἰδεῖν διάδοχον τοῦ Ἰγνατίου ἄνδρα, οἷος ἦν ὁ Φώτιος. Τέλος δὲ ὑποχωρήσας τῇ βουλήσει τοῦ Αὐτοκρ. ὁ Φώτιος ἀπεδέξατο τὴν ἐκλογὴν (2) καὶ ἀνεβιβάσθη ἐπὶ τὸν Πατριαρχικὸν θρόνον

ων, ἐξ ὧν ἐχρῆν τὰ τῆς βουλήσεως μηδ᾽ ἀφαμαρτεῖν τοῦ τέλους. Ἦν γὰρ καὶ πατὴρ τὸ πρόσθεν ἐπ᾽ ἀρετὴν προσκαλούμενος, ὃς ἕνεκα δόξης ὀρθῆς καὶ πίστεως ἀληθοῦς πλούτῳ μὲν καὶ ταῖς τῶν ἀξιωμάτων περιφανείαις μακρὰν χαίρειν εἰπών, καὶ πάντα παθών, ἵνα μὴ κατὰ μέρος λέγω, ἐν αὐτῷ τῷ μαρτυρίῳ ὑπερορισθείς, τετελείωται· καὶ μήτηρ φιλόθεός τε καὶ φιλάρετος, καὶ τοῦ ἀνδρὸς φιλονεικοῦσα κατὰ μηδὲν ἐν τούτοις ἀπολιμπάνεσθαι. Ἀλλὰ πρὸς μὲν τὴν μοναχικὴν πολιτείαν ταῦτά τε καὶ τοιαῦτα ἕτερα προσῆν ἐφελκόμενα· ἀνθεῖλκον δὲ καὶ μὴ βουλόμενον κοσμικαὶ φροντίδες, καὶ πολιτικῶν ἀξιωμάτων τιμαί, ἃς ἐμοὶ βασιλικὴ χεὶρ καὶ βασιλικὸν ἐπανετίθει βούλημα». Τόμ. χαρ. σ. 6.

(1) « Καὶ πλεῖστα, λέγει ὁ Νικήτας, καθ᾽ ἑαυτοὺς συσκεψάμενοι, καὶ πᾶσαν κεκινηκότες βουλήν, Φώτιον πρωτοσπαθάριόν τε ὄντα καὶ πρωτοασηκρῆτιν, εἰς Ἀρχιερέα τῆς βασιλίδος προβάλλονται ». Καὶ Μιχαὴλ ὁ μοναχὸς λέγει: προβάλλονται Φώτιον προσαγορευόμενον, πρωτοασηκρῆτιν ὑπάρχοντα, ἐπ᾽ εὐλαβείᾳ δὲ καὶ γνώσει φημιζόμενον » (ἐν β. Νικολάου τοῦ Στουδίτου).

(2) Ἐν τῇ πρώτῃ αὐτοῦ ἐπιστολῇ πρὸς τὸν Π. Νικόλαον λέγει: « Ἄρτι τοιγαροῦν τοῦ πρὸ ἡμῶν ἱερατεύειν λαχόντος τῆς τοιαύτης ὑπεξελθόντος ἀξίας, οὐκ οἶδ᾽ ὅπως ὁρμηθέντες ἐπιτίθενταί μοι κραταιῶς, ὅσοι τε κλήρῳ κατειλεγμένοι ἐτύγχανον, καὶ τῶν Ἐπισκόπων τε καὶ τῶν Μητροπολητῶν τὸ ἄθροισμα, καὶ πρό γε τούτων καὶ σὺν αὐτοῖς ὁ φιλευσεβὴς καὶ φιλόχριστος Βασιλεύς, πᾶσι μὲν

τῇ κε΄ Δεκεμβρίου, ἅπαντας ἐν ἡμέραις ἓξ τοὺς ἱερατικοὺς βαθμοὺς διελθών, ἀπὸ τοῦ μοναχοῦ καὶ ἀναγνώστου μέχρι τοῦ Πατριάρχου (1). Μετ᾽ οὐ πολὺ ἤρξατο ἐκεῖνο, ὅπερ προέβλεπεν ὁ Φώτιος. Ὁ Ἰγνάτιος τὸ μὲν πρῶτον ἐδήλωσεν, ὅτι παραιτεῖται τοῦ θρόνου, ἔπειτα δὲ ὑφηγήσει τῶν πρὸς τὸν Βάρδαν ἐχθρικῶς διακειμένων ἤρξατο λέγειν, ὅτι ἐπ᾽ οὐδενὶ λόγῳ παύσεται θεωρῶν ἑαυτὸν κυβερνήτην τῆς Ἐκκλησίας(2). Ἐντεῦθεν ὁ Βάρδας ὑπέβαλε βασάνοις τοὺς Ἰγνατιανούς, ὡς ἀνυποτάκτους τῇ ἀνωτάτῃ ἐξουσίᾳ. Ἐκ τούτου ἔνιοι τῶν ἐπισκόπων ἀπέστησαν τοῦ Φωτίου, καὶ πολλοὶ αὐτῶν διαβολὰς ψευδεῖς κατήντλουν αὐτοῦ. Ὁ θεῖος Πατὴρ ἔπασχεν δι᾽ ἑαυτὸν καὶ διὰ τὴν Ἐκκλησίαν ἀναίτιος ὤν. Ἔγραψε πρὸς τὸν Βάρδαν ἐπὶ τοῖς γενομένοις κακοῖς διαμαρτυρόμενος (3) ἀλλ᾽ ἀνάγκη ἦν συγκροτήσεως

χρηστὸς ὢν καὶ ἐπιεικὴς καὶ φιλάνθρωπος (καὶ τί γὰρ οὐ χρὴ λέγειν τ᾽ ἀληθές;), οὐδ᾽ ἔχων ἄλλον τὸν πρὸ αὐτοῦ βεβασιλευκότων τῇ ἐπιεικείᾳ ἐξισούμενον, ἐμοὶ δ᾽ ἀφιλάνθρωπός τις ἐδόκει τότε, βίαιός τε καὶ λίαν φοβερός· οὐδὲ γὰρ οὐδὲ μικρὸν ἦν ἐνδιδοὺς τῆς ἅμα παντὶ τῷ προειρημένῳ τῶν ἱερέων πληρώματι ἐπιθέσεως. Ἀλλ᾽ ὁ μὲν πρόφασιν τοῦ μὴ μεθήσειν ἐποιεῖτο τὴν ὁμόψηφον τῶν ἱερέων ὁρμὴν καὶ σπουδήν, καὶ ὡς οὐκ ἂν δύναιτο, καὶ βουλόμενος, ἐκτελέσαι τὴν αἴτησιν· τοῖς δ᾽, ἐπεὶ πολὺ πλῆθος συνείλεκτο, οὐδ᾽ οἱ τῆς παρακλήσεως ἡμῶν λόγοι καθαρῶς αὐτοῖς προσεφέροντο· οἷς δ᾽ ἂν καὶ προσέπιπτον, οὐ προσίεντο, ἓν δὴ τοῦτο καὶ μελετήσασι, καὶ λέγειν ἐξασκήσασι, τὸ δεῖν ἐμὲ πάντως καὶ μὴ βουλόμενον τὸ φορτίον τῆς ἐπιστασίας αὐτῶν ἀναδέξασθαι. Ἐπεὶ δέ μοι πανταχόθεν αἱ ὁδοὶ τῶν ἐν τοῖς λόγοις παρακλήσεων ἀπεφράττοντο, προσεπήδα τὰ δάκρυα· καὶ ἡ τῆς ἀπορίας ἀχλὺς τὰ ἔνδοθεν πάντα πληρώσασα τῆς συγχύσεως, καὶ μέχρις αὐτῶν γε τῶν ὀμμάτων προσαράξασα, εἰς ῥεῖθρον μετεσκευάζετο . . . . Οὐδ᾽ οὕτω γὰρ ἀνῆκαν οἱ βιαζόμενοι μέχρις ἂν ὅπερ ἐμοὶ μὲν ἀβούλητον, ἐκείνοις δὲ ὅπερ ἦν εὐχῆς ἔργον, διεπέπρακτο . . . .» Ταῦτα γράφει καὶ ἐν τῇ ἐνθρον. ἐπ. πρὸς τὸν θρόνον Ἀντιοχείας, καὶ ἐν τῇ πρὸς Βάρδαν ἐπ.

(1) Νικήτ., Μητροφάν. ὁ Σμύρν.

(2) Ἀναστ. ὁ Βιβλιοθηκ. Praefat. ad Concil. T. 23. p. 121. 453. Νικήτ. ἐν β. Ἰγνατ.

(3) «Ἤδειν ἐγώ, ἔγραφε πρὸς αὐτόν, καὶ πρὸ πείρας ἀνάξιον ἐμαυτὸν καὶ τοῦ ἀρχιερατικοῦ βαθμοῦ καὶ τῆς ποιμαντικῆς ἐγχειρίσεως· διὰ τοῦτο γὰρ ἀγόμενος καὶ ἑλκόμενος ἀπεδυσπέτουν πρὸς ταῦτα· ὡς εἴθε θάνατός με τῆς τότε προβολῆς, μᾶλλον δὲ

συνόδου. Τῷ 861ῳ σωτηρίῳ ἔτει 318 ἐπίσκοποι, ἐν οἷς καὶ τοῦ Πάπα τοποτηρηταί, ἐπεκύρωσαν τὴν καθαίρεσιν τοῦ Ἰγνατίου καὶ τὴν ἐκλογὴν τοῦ Φωτίου. Ἡ Ἐκκλησία εἰρήνευσεν. Ἀλλ' ὁ Πάπας οὐκ ἔλαβεν ἐκεῖνο, ὅπερ ἤλπιζε, δηλονότι τὴν Ἰλλυρίαν, οὐδὲ εἶδε τὸν ὑπ' αὐτοῦ ἀπαιτούμενον σεβασμόν, καὶ ἐντεῦθεν ἀπέστειλεν εἰς τὴν πρωτεύουσαν γράμματα, ἐν οἷς μεθ' ἑωσφορικῆς ἀλαζονείας ἐκήρυττεν ἑαυτὸν κριτὴν τῆς Οἰκουμένης. Συναγείρας δὲ (τῷ 863) εἰς Ρώμην

τῆς ἀφορήτου βίας, προανήρπασεν· οὐ γὰρ ἂν τοσούτων καὶ τηλικούτων κακῶν κύματα τὴν ἐμὴν καθ' ἑκάστην ἐβάπτιζον ἐπικλύζοντα τάλαιναν ψυχήν· ὧν ἡ ἐλπὶς καὶ ἡ προσδοκία (δεινὴ γὰρ ἡ τῶν ἀνθρώπων φύσις τὰ μέλλοντα συνιδεῖν δυσχερῆ, ἂν ἐπ' αὐτὴν ἡ χαλεπότης μάλιστα φέρηται) συνετάρασσέ με τότε καὶ συνεῖχεν· ὑφ' ὧν βαλλόμενος καὶ πικρῶς ἀλγυνόμενος, ἔκλαιον, ἐδυσώπουν, πάντα μᾶλλον ἐποίουν, ἢ τοῖς ψηφιζομένοις καὶ βιαζομένοις συγκατένευον, παρενεχθῆναι τὸ ποτήριον ἀπ' ἐμοῦ τῶν πολλῶν καὶ πολυτρόπων φροντίδων καὶ πειρασμῶν ποτνιώμενος. Νῦν δὲ αὐτὰ μεταδιδάσκει τὰ πράγματα, καὶ τὴν ἐμὴν ἐλέγχει ἀναξιότητα· καὶ οὐκέτι φόβος προσδοκίας, ἀλλ' ὀδύνη στηριζομένη περὶ τὰ καίρια καὶ στεναγμὸς καὶ ἀμηχανία ἐπὶ τοῖς ἤδη καταλαβοῦσιν· ὅτε γὰρ ἱερεῖς, ὁποῖοι ἂν καὶ εἶεν, ὁμοῦ πάντας ἐπὶ ἑνὶ πταίσματι πάσχοντας ὁρῶ, τυπτομένους, δημευομένους, φαυλιζομένους, τὴν γλῶσσαν ἐκτεμνομένους (φεῖσαι, Κύριε, τῶν ἁμαρτιῶν ἡμῶν!), πῶς οὐ μακαρίσω τοὺς τετελευτηκότας ὑπὲρ ἐμέ; πῶς οὐ τὸ φορτίον τὸ ἐπιτιθέν μοι οὐκ εἰς ἔλεγχον τῶν ἐμῶν ἁμαρτημάτων λογίσομαι; Ἄνθρωπος ἄπορος, ἀπροστάτευτος, οὐδὲ τὸν νοῦν ἔχων ἀπαθῆ (οἷς ἔλεος μᾶλλον, οὐκ ἀγανάκτησις ἕπεται), ἔπαθεν ἅμα τοσαῦτα κακά· ἐπράθη, ἐτύφθη, ἐφυλακίσθη· τὸ ἀπαραμύθητον, ἀπετμήθη τὴν γλῶσσαν, καὶ ταῦτα ἱερωσύνην φορῶν, ὑπὲρ οὗ πολλάκις ἐπρέσβευσα, ὑπὲρ οὗ πολλάκις ἐδυσώπησα, ὑπὲρ οὗ ὁ μάταιος ἐγὼ καὶ ῥήματα ἀπαθείας ἔλαβον, καὶ οἱ ἰδόντες ἐπίστανται... Ταῦτα δακρύων αἵματι ἔγραψα· ἐν σοὶ δ' ἐστὶ τὸ λοιπὸν ἢ πρώτην ἢ τελευταίαν τήνδε τὴν ἐπιστολὴν δέξασθαι. Ἐγὼ γὰρ κατενώπιον Κυρίου λέγω, ὡς, εἰ οὕτως ἐστὶν ὑμῖν σκοπὸς ἐν ταῖς εὐλόγοις ἡμῶν ἱκεσίαις καὶ παρακλήσεσι παρακρούεσθαι ἡμᾶς καὶ ἀποπέμπεσθαι, καὶ εἰ μή τις γένηται τῷ ἀθλίῳ ἐκείνῳ τὸν δυνατὸν τρόπον παραψυχὴ καὶ παράκλησις, οὔτε γράψω, οὔτε ἄλλως πῶς ἐνοχλήσω, ἀλλ' ἡσυχάσω ἐμαυτὸν ἐπισκοπῶν, καὶ τὰ ἐμαυτοῦ ὀδυρόμενος...». (ἐπ. ϛ' ἔκδ. Μοντακ.).

σύνοδον πολλῶν τῆς Δύσεως ἐπισκόπων, ἀνεθεμάτισε τὸν Φώτιον καὶ ἐκήρυξεν ἔκπτωτον τῆς Πατριαρχείας. Τὸν θεῖον Πατέρα οὐδαμῶς ἐτάραξαν τὰ παρατόλμως ὑπὸ τοῦ Πάπα πεπραγμένα. Εἴρηκεν ὁ Φώτιος ἤδη πρότερον πᾶν ὅ,τι ἦν ἀναγκαῖον εἰπεῖν: «Ποῖοι δὲ κανόνες, ὧν ἡ παράβασις, οὓς μέχρι καὶ σήμερον ἡ Κ]πολιτῶν Ἐκκλησία οὐ παρείληφεν»(1); δηλ. τὰ ψευδῆ δεκρετάλια—ἀποκύημα ἀμαθείας, ἅτινα ὅμως ὁ Πάπας ἐθεώρει ἴσα τῷ φυσικῷ νόμῳ καὶ ταῖς ἐντολαῖς τοῦ Κυρίου Ἰησοῦ(2). Ὁ Φώτιος ἠσχολεῖτο ἠρέμως περὶ ἀποστολικὰ ἔργα. Τῷ 861 ἐδέξατο τὸ ἅγιον Βάπτισμα ὁ ἡγεμὼν τῆς Βουλγαρίας, καὶ ὁ θεῖος Πατὴρ ἔπεμψεν εἰς Βουλγαρίαν Ἀρχιεπίσκοπον καὶ ἱερεῖς ἑνώσοντας τῷ Χριστῷ τοὺς ἐθνικοὺς αὐτῆς κατοίκους (3). Τὸ δ' ἐπιὸν ἔτος ἔπεμψε τὸν Κύριλλον καὶ τὸν Μεθόδιον εἰς Μοραβίαν, κατὰ παράκλησιν τῶν ἡγεμόνων αὐτῆς, διδάξοντας τοὺς κατοίκους αὐτῆς τὴν εἰς Χριστὸν πίστιν ἐν τῇ ἐπιτοπίῳ σλαβικῇ γλώσσῃ. Κατὰ τὸ αὐτὸ ἔτος κατώρθωσεν, ἵνα ἡ ἀρμενικὴ Ἐκκλησία ὁρίσῃ κατὰ τὴν ἐν τῇ πόλει Ἄνι συγκροτηθεῖσαν Σύνοδον τὴν μετὰ τῆς Ὀρθοδόξου Ἐκκλ. ἕνωσιν αὐτῆς. Κατόπιν δὲ κατέστησε Μητροπολίτην Ἀμίδης τὸν ἑαυτοῦ μαθητὴν Ἀβράμιον (4). Ἐν τούτοις οἱ τοῦ

(1) Ἐπ. β' Νικολάῳ Πάπα παρὰ Βαρωνίῳ ad an. 961. Οἱ 17 καν. τῆς Συν. τοῦ 861 παρὰ Γαρδουΐνῳ T. V. p. 1195. Ἐν τῇ Ἀγγλ. Βιβλιοθ. Cod. Laud. 39. (691) sec. Catal. Mss. Anglic. 1.) ὑπάρχουσι καὶ τὰ Πρακτ. τῆς συν.

(2) Ep. VIII Nicolai ad Michaelem.

(3) Βλ. ἐπ. τοῦ Π. Νικολ. πρὸς τὸν Αὐτοκράτορα. Concil. T. XXII. p. 62. Συμ. Λογοθ. Ρωμ. βασιλ. Μιχ. καὶ Θεοδώρα κεφ. 25. Ὁ Φώτ. ἐν τῇ πρὸς Μιχ. ἐπ. ἀποκαλεῖ τὸν ἡγεμ. τῆς Βουλγαρ. «Καλὸν ἄγαλμα τῶν ἐμῶν πόνων, τῶν ἐμῶν πνευματικῶν ὠδίνων εὐγενὲς καὶ γνήσιον γέννημα».

(4) Neumann Geschichte d. Armen. Litterat. s. 115-117. Περὶ τοῦ Ἀβραμίου βλ. Le-quien Oriens, Christ. II. 296. Ὁ Φώτιος καὶ ἐν τῇ ἐγκυκλ. αὐτοῦ ἐπιστολῇ κατὰ τοῦ Π. Νικολάου λέγει: «Καὶ γὰρ οἱ τὴν Ἀρμενίαν οἰκοῦντες, τῷ τῶν Ἰακωβιτῶν ἐνισχυμένοι δυσσεβήματι, καὶ πρὸς τὸ ὀρθὸν τῆς εὐσεβείας ἀπαυθαδιαζόμενοι κήρυγμα, ἀφ' οὗπερ ἡ πολυάνθρωπος ἐκείνη καὶ ἁγία τῶν Πατέρων ἡμῶν κατὰ Χαλκηδόνα συνεκροτήθη Σύνοδος, τῶν ὑμετέρων εὐχῶν ἡμῖν ἐπαμυνόντων, τὴν μακρὰν ἐκείνην πλάνην

Πάπα μυστικοὶ πράκτορες οὐκ ὤκνησαν σπεῖραι ἐν Βουλγαρίᾳ σπέρματα ἀμφιβολιῶν κατὰ τῆς Ἀνατολικῆς Ἐκκλησίας. Ἡ ἐκστρατεία τοῦ γερμανοῦ Αὐτοκράτορος Λουδοβίκου κατὰ τῶν Βουλγάρων (τῷ 864), ὀλεθρία γενομένη ἁπάσῃ τῇ χώρᾳ ἐκείνων, ἠνάγκασεν αὐτοὺς ζητῆσαι προστασίαν([1])· ὁ δ᾽ ἡγεμὼν τῆς Βουλγ. ἀπετάθη καθ᾽ ὑφήγησιν τῶν γερμανῶν ὑπηρετῶν τοῦ Πάπα καὶ τοῦ Αὐτοκράτορος, πρὸς τὸν Νικόλαον ἐκφράζων ἀμφιβολίας περὶ τῆς πίστεως. Ὁ ἀγαθὸς ποιμὴν ἔστειλε τῷ οὐ πρὸ πολλοῦ ἐθνικῷ γράμματα, ἐν οἷς ἐξετίθει τὴν περὶ τοῦ πρωτείου τοῦ ἐπισκόπου τῆς Ρώμης διδασκαλίαν. Σύναμα δὲ ἔπεμψεν εἰς Βουλγαρίαν δύο ἐπισκόπους, Παῦλον τὸν Ποπουλανίας καὶ Φόρμοσον τὸν Ὠστίας, καὶ πολλὴν μετ᾽ αὐτῶν συνοδίαν Κληρικῶν, ὅπως διώξωσιν ἐκεῖθεν τοὺς ἕλληνας ἱερεῖς ([2]).

ἀποθέσθαι ἐνεδυναμώθησαν· καὶ λατρεύει σήμερον καθαρῶς καὶ ὀρθοδόξως ἡ τῶν Ἀρμενίων λῆξις τὴν χριστιανῶν λατρείαν, Εὐτυχῆ τε καὶ Σεβῆρον καὶ Διόσκορον, καὶ τοὺς κατὰ τῆς εὐσεβείας πετροβόλους Πέτρους, καὶ τὸν Ἁλικαρνασσέα Ἰουλιανόν, καὶ πᾶσαν αὐτῶν τὴν πολύσπορον διασποράν, ὡς ἡ καθολικὴ Ἐκκλησία, μυσσαττομένη καὶ δεσμοῖς ἀλύτοις τοῦ ἀναθέματος ὑποβάλλουσα».

([1]) Ἐπ. Φωτίου πρὸς τὸν ἡγεμόνα τῶν Βουλγάρων Μιχαὴλ ἐν ἀρχ. σλαβ. μεταφρ. ἐκδοθεῖσα ἐν τῇ βίβλῳ τοῦ Κυρίλλου. Ἐν τῇ ἐγκυκλίῳ ἐπ. πρὸς τοὺς τῆς Ἀνατολῆς ἀρχιερ. θρόνους λέγει ὁ ἱερώτατος Φώτιος: «Οὔπω γὰρ ἐκείνου τοῦ ἔθνους, οὐδ᾽ εἰς δύο ἐνιαυτοὺς τὴν ὀρθὴν τῶν χριστιανῶν τιμῶντες θρησκείαν, ἄνδρες δυσσεβεῖς καὶ ἀποτρόπαιοι (καὶ τί γὰρ οὐκ ἄν τις εὐσεβῶν τούτους ἐξονομάσειεν;), ἄνδρες ἐκ σκότους ἀναδύντες (τῆς γὰρ ἑσπερίας μοίρας ὑπῆρχον γεννήματα)· οἴμοι! πῶς τὸ ὑπόλοιπον ἐκδιηγήσομαι; Οὗτοι πρὸς τὸ νεοπαγὲς εἰς εὐσέβειαν καὶ νεοσύστατον ἔθνος, ὥσπερ κεραυνός, ἢ σεισμός, ἢ χαλάζης πλῆθος, μᾶλλον δὲ οἰκειότερον εἰπεῖν, ὥσπερ ἄγριος μονιός, ἐμπηδήσαντες, τὸν ἀμπελῶνα Κυρίου, τὸν ἠγαπημένον καὶ νεόφυτον, καὶ ποσὶ καὶ ὀδοῦσιν, ἤτοι τρίβοις αἰσχρᾶς πολιτείας καὶ διαφθορᾷ δογμάτων, τό γε εἰς τόλμην ἧκον τὴν αὐτῶν, κατανεμησάμενοι ἐλυμήναντο. Ἀπὸ γὰρ τῶν ὀρθῶν καὶ καθαρῶν δογμάτων, καὶ τῆς τῶν χριστιανῶν ἀμωμήτου πίστεως, παραφθείρειν τούτους καὶ ὑποσπᾶν κατεπανουργήσαντο». Βλ. περὶ τῶν Βουλγάρων Ζωναρᾶν, Λέοντα τὸν Γραμματικόν, καὶ Κεδρηνόν.

([2]) Ep. Nicolai ad Michaelem principem T. VIII. concil. p. 1542.

Τὴν τοιαύτην ἄμετρον φιλοδοξίαν τοῦ Πάπα ἐχρῆν ἐλέγξαι ἐνώπιον ἁπάσης τῆς Ἐκκλησίας. Ὁ Φώτιος ἀνήγγειλε δι᾽ ἐγκυκλίου ἐπιστολῆς τῇ Ἀνατολῇ τὰ ἔργα τοῦ Πάπα, καὶ κατέδειξεν ἐν αὐτῇ τὰς πλάνας τῆς ρωμαϊκῆς Ἐκκλησίας οὐ μόνον ὡς πρὸς τὰς ἱεροτελεστίας, ἀλλὰ καὶ ὡς πρὸς αὐτὴν τὴν πίστιν. Ἐν πολυαρίθμῳ Συνόδῳ κατεκρίθησαν αἱ αὐθαιρεσίαι τῆς Δύσεως (1). Ἐγένετο δ᾽ ἡ σύνοδος αὕτη τῷ 867. Κατὰ τὸν αὐτὸν χρόνον ἔσχεν ἔτι ὁ ἅγιος Ποιμὴν τὴν ἀποστολικὴν παρηγορίαν ἰδεῖν τὴν εἰς τὴν πίστιν ἐπιστροφὴν τῶν Ρώσσων ἡγεμόνων Ἀσκόλδου καὶ Δίρου. Ὁ Φώτιος ἐπετέλει μόνον τὸ θέλημα τοῦ Κυρίου, θαυμαστῶς ἐπὶ τῶν ἡγεμόνων ἐνεργήσαντος, ἐν τῇ μετ᾽ αὐτῶν ἀποστολῇ ἐπισκόπου εἰς Ρωσσίαν, τότε, ὅτε πρὸ τούτου τῇ κατὰ τῆς Ἑλλάδος ἐπιδρομῇ ἐκείνων διήγειρεν εἰς μετάνοιαν τὴν πρωτεύουσαν αὐτῆς (2). Τί δ᾽ ἐν τούτοις ποιεῖ ὁ Πάπας Νικόλαος; Αἱ πλάκες Λέοντος τοῦ Γ´ ἐβεβαίουν τὸ δίκαιον τοῦ Φωτίου ὡς πρὸς τὸ Σύμβολον. Καὶ ὅμως ἀντὶ τοῦ κωλῦσαι τὴν αὐθαιρεσίαν, γράφει ὅτι ὁ Φώτιος συκοφαντεῖ τὴν Δύσιν, καὶ ἐντέλλεται ἀποδεῖξαι τὸ ἄδικον ἐκείνου ὡς πρὸς τὴν ὁμολογίαν τῆς πίστεως. Καὶ τίσιν ἐντέλλεται; Τοῖς διδασκάλοις αὐτῆς

(1) Ἐγκύκλ. ἐπ. σελ. 162-179. Συνοδικ. σύγγρ. τῷ Φωτίῳ ap. Fabric. B. Gq. T. XI. p. 254. 257.

(2) Ἐν τῇ ἐγκυκλ. ἐπ. πρὸς τοὺς τῆς Ἀνατολῆς θρόνους γράφει περὶ τῶν Ρώσσων: «Καὶ γὰρ οὐ μόνον τὸ ἔθνος τοῦτο (τὸ βουλγαρικὸν) τὴν εἰς Χριστὸν πίστιν τῆς προτέρας ἀσεβείας ἠλλάξατο, ἀλλά γε δὴ καὶ τὸ παρὰ πολλοῖς πολλάκις θρυλλούμενον, καὶ εἰς ὠμότητα καὶ μιαιφονίαν πάντας δευτέρους ταττόμενον, τοῦτο δὴ τὸ καλούμενον τὸ Ρῶς, οἳ δὴ καὶ κατὰ τῆς ρωμαϊκῆς ἀρχῆς, τοὺς πέριξ αὐτῶν δουλωσάμενοι, κἀκεῖθεν ὑπέρογκα φρονηματισθέντες, χεῖρας ἀντῆραν. Ἀλλ᾽ ὅμως νῦν καὶ οὗτοι τὴν τῶν χριστιανῶν καθαρὰν καὶ ἀκίβδηλον θρησκείαν τῆς ἑλληνικῆς καὶ ἀθέου δόξης, ἐν ᾗ κατείχοντο πρότερον, ἀντηλλάξαντο, ἐν ὑπηκόων ἑαυτοὺς καὶ προξένων τάξει, ἀντὶ τῆς πρὸ μικροῦ καθ᾽ ἡμῶν λεηλασίας καὶ τοῦ μεγάλου τολμήματος, ἀγαπητῶς ἐγκαταστήσαντες. Καὶ ἐπὶ τοσοῦτον αὐτοὺς ὁ τῆς πίστεως πόθος καὶ ζῆλος ἀνέφλεξε (Παῦλος πάλιν βοᾷ· εὐλογητὸς ὁ Θεὸς εἰς τοὺς αἰῶνας), ὥστε καὶ Ἐπίσκοπον καὶ Ποιμένα δέξασθαι, καὶ τὰ τῶν χριστιανῶν θρησκεύματα διὰ πολλῆς σπουδῆς καὶ ἐπιμελείας ἀσπάζεσθαι».

ἐκείνης τῆς γαλλικανῆς Ἐκκλησίας, ἔνθα ὁ προκάτοχος αὐτοῦ ἤλεγξε καὶ ἐκώλυσε κυρίως αὐτὴν ταύτην τὴν αὐθαιρεσίαν (¹) . . . . Οἰκτρὰ τύφλωσις !

§. 282. ϛ΄) Ἐπὶ τῶν Αὐτοκρατόρων Βασιλείου καὶ Λέοντος.

Τῷ τῆς εὐαγγελικῆς ἀληθείας προμάχῳ ἐπῆλθεν ἐξ ἀπροσδοκήτου νέα βαρεῖα δοκιμασία. Ἡ μεταβολὴ τῶν πολιτικῶν περιστατικῶν ἐν Ἑλλάδι ἐπήνεγκε καὶ τῇ Ἐκκλησίᾳ οἰκτρὰν μεταβολήν. Βασίλειος ὁ Μακεδών, ἀπανθρώπως δολοφονήσας τὸν τῆς βασιλείας κοινωνὸν ἀναδείξαντα αὐτὸν Αὐτοκράτορα Μιχαήλ, ἀνέβη (τῷ 867) ἐπὶ τὸν θρόνον. Ὁ θεῖος Ποιμὴν ἤλεγξε μετὰ τῆς προσηκούσης παρρησίας τὸν μιαιοφόνον, καὶ οὐκ ἐπέτρεψεν αὐτῷ μεταλαβεῖν τῶν ἀχράντων μυστηρίων ὡς μεμιασμένῳ τῷ τοῦ εὐεργέτου αἵματι. Ὁ δὲ Πάπας οὐκ ἐπαύετο ταράσσων τὴν εἰρήνην τῆς Ἀνατολῆς. Ἐπακολούθημα τούτου ἦν ὅτι ὁ μὲν Ἰγνάτιος κατέστη τὸ δεύτερον Πατριάρχης τῇ 23ῃ Νοεμβρίου τοῦ 867ου ἔτους, ὁ δὲ ἱερώτατος Φώτιος καθείρχθη ἐν Σκέπῃ, μονῇ τινι πλησίον τῆς Κωνσταντινουπόλεως κειμένῃ (²). Ὁ Πάπας ἐθριάμβευεν. Ἔσπευσε πέμψαι τοποτηρητὰς πρὸς συγκρότησιν συνόδου. Δύο περίπου ἔτη συνέλεγον ἐπισκόπους, ὅπως πανηγυρικῶς καταδικάσωσι τὸν Φώτιον· ἀλλ' ὁ ἀριθμὸς τῶν μελῶν τῆς συνόδου ἀπὸ 28 μόλις ἀνέβη εἰς 100.

(¹) Τὴν ἐντολὴν τοῦ Πάπα ἐξεπλήρωσαν ὁ τῶν Παρισίων ἐπίσκ. Αἰνείας (lib. adv. Graecos in D' Achizy Spicileg. ed. II. T. I. p. 113), Ὄδονος ὁ Βεωβαίσης (Odon évêque de Beauvais), καὶ Ράτραμνος ὁ μοναχὸς (Ratramn. Corb. tract. contr. Graecos in Spicileg. Tom. II.).

(²) Ὁ Ζωναρᾶς (χρον. ις΄ 14. σελ. 167), Λέων ὁ Γραμματικὸς (χρονογρ. σελ. 471), καὶ αὐτὸς Συμεὼν ὁ Μάγιστρος (χρονογρ. σελ. 454), λέγουσιν, ὅτι ὁ Φώτιος ἤλεγξε τὸν μιαιοφόνον. Λίαν σαφῶς ἔγραψε περὶ τούτου ὁ ἅγιος Ποιμὴν πρὸς αὐτὸν τὸν Βασίλειον. «Ἀλλ' ὅρα, φίλε, κἂν μὴ βούλει, βασιλεῦ, ὅτι τὸ πειρᾶσθαι πείθειν ἀνθρώπους, οὐ μόνον οὐδὲν συντελεῖ πρὸς τὸ πεῖσαι Θεόν, ἀλλὰ καὶ εἰς τοὐναντίον περιτρέπεται· καὶ τῶν ἀδεῶς ἐνταῦθα πραττομένων μᾶλλόν ἐστι ἐκεῖθεν ἡ παντέφορος δίκη κριτής». ἐπ. 98.

Ἐν τῇ πρώτῃ συνεδριάσει ᾔτουν οἱ τοποτηρηταί, ἵνα οἱ τῆς Ἀνατολῆς ἐπίσκοποι ἀποδέξωνται τὴν ὑποταγὴν ἁπάσης τῆς Ἐκκλησίας τῷ κριτηρίῳ τοῦ Πάπα. Ἰδοὺ τί ἐπόθει ὁ Πάπας θηρεύων τὴν καθαίρεσιν τοῦ Φωτίου! Καὶ δυστυχῶς ἐφίκετο νῦν ἐν μέρει τοῦ σκοποῦ αὐτοῦ! Κατὰ τὴν ε΄ συνεδρίασιν μετακαλεῖται ὁ ἱερὸς Πατὴρ τρίς, καὶ βίᾳ εἰσάγεται εἰς τὸ τῶν παρανόμων ἐκεῖνο συνέδριον· ἀλλ᾽ εἰς τὰς ἐρωτήσεις τῶν τοποτηρητῶν οὐκ ἀπεκρίνατο, τῇ σιωπῇ διδάσκων αὐτούς, ὡς οὐ νομίμους θεωρεῖ δικαστάς. Εἰπόντων δ᾽ αὐτῷ, ὡς οὐκ ἐκφεύξοιτο τὴν κατάκρισιν σιωπῶν, ἀπεκρίνατο· «οὐδὲ ὁ Ἰησοῦς σιωπῶν ἐξέφυγε τὴν κατάκρισιν». Ἐν τῇ ζ΄ συνεδριάσει ἠρώτησεν αὐτὸν ὁ Πραιπόσιτος Βαάνης εἰ δέχοιτο τὸν λίβελλον καὶ ἀσπάζοιτο τὰς ἀποφάσεις τῆς ρωμαϊκῆς ἕδρας. Ὁ δὲ ἅγιος ποιμὴν ἀπεκρίνατο εἰπών· «ὁ Θεὸς φυλάξαι εἰς πολλὰ ἔτη τὸν βασιλέα ἡμῶν τὸν ἅγιον· τοῖς δὲ τοποτηρηταῖς ἀπολογίαν οὐ παρέχωμεν· εἰ εἶπον ἐπὶ ἰδίᾳ μετανοίᾳ τὸν προσδιορισμόν, ὃν ἔθεσαν χάριν ἡμῶν, δι᾽ ἔργων ἐπιδειξάτωσαν, καὶ μετανοησάτωσαν αὐτοί, ἐφ᾽ οἷς ἐπλημμέλησαν». Κατ᾽ αὐτοῦ ἐζήτουν ἐκ παντὸς τρόπου καταγγελίας· ἐξηρεύνων τὸ παρελθὸν αὐτοῦ· οἱ παριστάμενοι τῷ συνεδρίῳ ἐκυκλοῦντο ὑπὸ στρατιωτῶν· ὁ μέγας Διδάσκαλος ὑπέμενεν ἠρέμως τὰς ὕβρεις. Οὔτε αὐτόν, οὔτε τοὺς ἄλλους προμάχους τῶν δικαιωμάτων τῆς Ἐκκλησίας ἐκλόνιζεν ἡ βία, δύο πράγματα ᾔτουν αὐτοὺς τὴν καταδίκην τοῦ Φωτίου καὶ τὴν ὑποταγὴν εἰς τὸν Πάπαν! Οὐδεμίαν δ᾽ αἰτίαν εὑρόντες, ἀνεθεμάτισαν αὐτόν τε καὶ τοὺς ἑαυτοῦ ἐπισκόπους(1). Μετὰ τὴν ἄνομον ταύτην κατάκρισιν ἀπήχθη αὖθις ὁ μέγας τῆς ἀληθείας ὑπερασπιστὴς εἰς Σκέπην, ἔνθα ἐστέρησαν αὐτὸν πάντων, οὐ μόνον ὑπηρετῶν, ἀλλὰ καὶ τῆς παραμυθίας τοῦ ὁρᾶν τοὺς φίλους καὶ τοὺς συγγενεῖς, καὶ δὴ καὶ κατὰ τὸν χρόνον τριακονθημέρου ἀσθενείας, ἐφεῦρον νέαν ἔτι παράδοξον καὶ σοφῷ βεβαίως βαρυτάτην τιμωρίαν, τὴν ἀφαίρεσιν τῶν βιβλίων (2). Ἑπτὰ ὅλα ἔτη [*] διῆλθεν ἐν τοιαύτῃ ταλαιπωρίᾳ δοκιμαζόμενος ὁ Φώτιος (3). Εὐχαρίστει, ὡς ἐμαρτύρει ἐνώπιον τῆς κα-

(1) Ἐπ. Φωτ. ριβ΄ σελ. 112.

(2) Ἐπ. 97 τῷ εὐσεβεστ. καὶ μεγ. βασ. Βασιλείῳ.

(*) Κατὰ τὸν ἡμέτερον Βαλέτταν ἐπὶ τρία ἔτη διέτριψεν ἐν τῇ ἐξορίᾳ ὁ ἱερώτατος Φώτιος. Σ. Μ.

(3) Πιθανόν, ὅτι κατὰ τὸ ς΄ ἢ ζ΄ ἔτος τῆς ἐξορίας ἔγραψε τὸ κατὰ

τὰ τὸ 879 συγκροτηθείσης Συνόδου, μόνον τῷ Κυρίῳ, καὶ μεθ' ὑπομονῆς ἤνεγκε τὰ κρίματα Αὐτοῦ. . . . Περὶ τοῦ ἀναθέματος, ὅπερ ἐξεφώνησαν κατ' αὐτοῦ οἱ τὸ πονηρὸν ἐκεῖνο πληροῦντες συνέδριον, γράφων πρὸς Ἰγνάτιον τὸν Κλαυδιουπόλεως Μητροπολίτην, λέγει: « Ἦν ποτε φρικτὸν καὶ φοβερὸν τὸ ἀνάθεμα, ὅτε κατὰ τῶν ἐνόχων τῆς ἀσεβείας ὑπὸ τῶν τῆς εὐσεβείας κηρύκων ἐφέρετο. Ἀφ' οὗ δὲ ἡ τολμηρὰ καὶ ἀναίσχυντος τῶν ἀλαστόρων ἀπόνοια, παρὰ πάντα θεσμὸν θεῖόν τε καὶ ἀνθρώπινον, καὶ παρὰ πάντα λόγον ἑλληνικόν τε καὶ βάρβαρον, τὸ οἰκεῖον ἀνάθεμα κατὰ τῶν προμάχων τῆς ὀρθοδοξίας ἀναστρέφειν ἐφρυάξατο, καὶ τὴν βαρβαρικὴν μανίαν ἐκκλησιαστικὴν προνομίαν ἐφιλονείκησαν ἀπεργάσασθαι, αὐτίκα καὶ τὸ φρικτὸν ἐκεῖνο καὶ ποινῆς ἁπάσης πέρας ἔσχατον εἰς μύθους καὶ παίγνια μεταπέπτωκε· μᾶλλον δὲ τοῖς εὐσεβέσι καὶ αἱρετὸν παρεσκεύασται· οὐδὲ γὰρ οὐδ' ἡ πάντολμος τῶν ἐχθρῶν τῆς ἀληθείας γνώμη τὰς ποινὰς καὶ μάλιστα τὰς ἐκκλησιαστικὰς ποιεῖ φοβεράς, ἀλλὰ τῶν πασχόντων τὸ ὑπεύθυνον, ὡς τό γε ἀνεύθυνον καὶ εἰς χλεύην τὰς ἐκείνων τιμωρίας τρέπει, καὶ κατ' ἐκείνων τὸ δικαίωμα τῆς τιμωρίας ἀναστρέφει καὶ τῷ ὑπ' αὐτῶν τιμωρουμένῳ, στεφάνους ἀκηράτους καὶ ἀθάνατον δόξαν ἀντὶ ποινῆς ἀπεργάζεται! Δι' ὃ καὶ ἕκαστος τῶν εὐσεβῶν καὶ ἁγίων ὑπ' αὐτῶν ἠλλοτριωμένων Χριστοῦ μυριάκις αἱρεῖται προπηλακίζεσθαι, ἢ τοῖς αὐτῶν μισοχρίστοις καὶ θεοστυγέσι μετὰ λαμπρᾶς τῆς εὐφημίας κοινωνῆσαι πονηρεύμασι » ([1]). Ὁ μέγας Διδάσκαλος δίκαιος ἦν ταῦτα γράφων. Τὰ δεινά, ἅτινα ὑπέστησαν μετ' αὐτοῦ οἱ φίλοι αὐτοῦ ἠδύναντο παρορμῆσαι αὐτὸν ἀπαιτῆσαι δίκην τούτων παρὰ τῶν ἀνθρώπων· ἀλλ' οὐκ ἠθουλήθη ταράξαι τὴν εἰρήνην τῆς Ἐκκλησίας. Αὐτὸς ὁ Αὐτοκράτωρ λογισάμενος τὴν πρὸς αὐτὸν ἀδικίαν, ἀνεκαλέσατο τὸν Φώτιον καὶ τῶν ἰδίων παίδων

Μανιχαίων Δ' βιβλίον, ἔνθα λέγει. « Ἐπεὶ οὖν τοὺς λόγους ἐκείνους εἰς γραφὴν ἀναληφθέντας ἐπεζήτησας, ἡ δ' ἁρπαγὴ τῶν βιβλίων κἀκείνοις ὑπερόριον ζημίαν ἐπέβαλε, καὶ οὐ πάρεισι τὸ συνταγμάτιον . . . . . ». Bibl. golland. T. XIII. p. 660. Τὰ βιβλία ἐγράφησαν, κατὰ παράκλησιν « Ἀρσενίου τοῦ ὁσιωτάτου μοναχοῦ πρεσβυτέρου καὶ ἡγουμένου τῶν ἱερῶν », πρὸς αὐτὸν ἐγράφησαν καὶ αἱ ἐπιστολαὶ ρπβ' σλς' λα' νθ'.

([1]) Ἐπιστ. ριε'.

διδάσκαλον κατέστησεν. Ὁ πρᾷος καὶ ἀμνησίκακος Φώτιος ἐπόθει τὰ μέγιστα διαλλαγῆναι πρὸς τὸν Ἰγνάτιον. Τοῦτο δ᾽ ἐγένετο ῥαδίως, τοῦ ἀγαθοῦ γέροντος συνιδόντος τὴν τῶν πραγμάτων ἀλήθειαν (¹). Ὁ μὲν Ἰγνάτιος ἦν ἐγγὺς τῆς τοῦ βίου τελευτῆς, ὁ δὲ Πάπας ἔπεμψεν αὐτῷ ἀνάθεμα, ἅτε δὴ οὐ βουληθέντι παραχωρῆσαι αὐτῷ τὴν Βουλγαρίαν [*]. Ὁ δὲ Αὐτοκράτωρ καὶ οἱ ἐπίσκοποι κατεῖδον, ὅτι ὁ Φώτιος ἦν τὰ μέγιστα ἀναγκαῖος τῇ Ἐκκλησίᾳ, καὶ ὅτι ἄνευ αὐτοῦ πολλὰς ἐποιήσαντο τῷ Πάπᾳ παραχωρήσεις. Ἐντεῦθεν, ἅμα τελευτήσαντος τοῦ γέροντος Ἰγνατίου, ἔπεμπον πρὸς τὸν Φώτιον ἀλλε-

---

(¹) Ἐν τῇ μετὰ θάνατον τοῦ Ἰγνατίου τῷ 879 γενομένῃ Συνόδῳ τὰ καθ᾽ ἑαυτὸν διεξιὼν ὁ ἱερώτατος Φώτιος, ἔλεγε: «Τοὐναντίον δὲ τὴν πρὸς αὐτὸν (τὸν Ἰγνάτιον) εἰρήνην πᾶσι τρόποις συσφίγγειν καὶ κρατύνειν διεμηχανώμεθα, ἥτις γέγονεν, ἐν τῷ παλατίῳ παραγεγονότος, ἀλλήλων μὲν τοῖς ποσὶν ἀμφοῖν προσπεσόντων, καὶ εἴ τι ἑκατέρῳ πρὸς τὸν ἕτερον διημάρτηται, τῆς συγγνώμης τούτων ἀφ᾽ ἑκατέρου ἀφελομένης. Μετὰ τοῦτο νόσῳ κατακλιθέντος, καὶ τὴν ἡμετέραν ἐπιζητήσαντος παρουσίαν, οὐχ ἅπαξ καὶ δίς, ἀλλὰ καὶ πολλάκις ἐπισκεψάμενος αὐτὸν παρεγενόμην. Καὶ ὅσα μὲν ἦν ἐμοὶ δυνατόν, ἐκείνου ἀξιοῦντος, ὑγιάζειν τὴν νόσον συνεβαλόμην. Ἐπεὶ δὲ καὶ λόγος παραμυθίας ἐπάγειν ἰσχὺν ἔχει, καὶ τὴν ἀπὸ τούτου προσῆγον αὐτῷ θεραπείαν. Ὥστε καὶ πολλὴν αὐτῷ τὰ τελευταῖα τὴν πρὸς ἡμᾶς πληροφορίαν δεξάμενον, τοὺς οἰκειοτέρους αὐτοῦ τῶν ἀνθρώπων εἰς τὰς ἡμετέρας χεῖρας παραθέσθαι, ὡς δὴ μετὰ τὴν ἐκδημίαν ἐκείνου προνοήσαντας καὶ σωτῆρας γενέσθαι· ὃ καὶ θείᾳ γέγονε χάριτι, καὶ οὐδεὶς ἂν μέμψαιτο τῶν αὐτοῦ τὴν ἐκείνου τελευταίαν φροντίδα τε καὶ διοίκησιν» (Πρακτ. τῆς Η´ Συν. Πρ. Β´.).

(*) «Εἰ δέ, λέγει ὁ σοφὸς Βαλέττας, καὶ τἄλλα ἐδόκει (ὁ Ἰγνάτιος) τῇ παπικῇ ἀλαζονείᾳ ὑπείκειν, καὶ διὰ τοῦτο προσφιλέστατος ἦν αὐτῇ, ὅμως διὰ τὸ μὴ προθύμως ὑπακοῦσαι τῇ περὶ Βουλγαρίας αἰτήσει τοῦ Πάπα, μικροῦ ἐδέησε τὰ Φωτίου ἐν ταῖς ἐσχάταις αὐτοῦ ἡμέραις παθεῖν. . . . Ὅ τε γὰρ Πάπας Ἀδριανὸς Β´ καὶ ὁ ἐκεῖνον διαδεξάμενος (τὸ 872) Ἰωάννης Η´, οὐ μόνον ἐπιστολὰς ἔγραψαν Ἰγνατίῳ τὴν Βουλγαρίαν ἀπαιτοῦντες, ἀλλὰ καὶ βαρείαις ἀμφότεροι ἐχρήσαντο ἀπειλαῖς, τὰ Φωτίου πήσεσθαι λέγοντες καὶ αὐτόν, ἐὰν μὴ τῆς Βουλγαρίας ἀποστήσηται . . . Ὥστε κατὰ ταῦτα, εἰ μὴ προλαβὼν ὁ θάνατος Ἰγνάτιον ἀπήγαγε, βαρὺς αὐτῷ ἐπέκειτο πόλεμος· ἤδη γὰρ αὐτῷ καὶ τὸ τελεσίγραφον ἐπεδέδοτο, ὅτι τὰ Φωτίου πήσεται, ἐὰν μὴ ἐν ἡμέραις τριάκοντα τὴν Βουλ-

παλλήλους πρέσβεις δεόμενοι αὐτοῦ ἀναλαβεῖν τὴν κυβέρνησιν τῆς Ἐκκλησίας (¹). Ἀλλὰ πρὸς ἀποφυγὴν νέων θορύβων ἐθεωρήθη ἀναγκαία ἡ συγκρότησις Συνόδου. Τῷ 879ῳ σωτηρίῳ ἔτει 383 ἐπίσκοποι ἀνωμολόγησαν τὸν Φώτιον νόμιμον ποιμένα τῆς Ἐκκλησίας(²). Ὁ Πάπας Ἰωάννης, γινώσκων τὰς ἐξόχους ἀρετὰς τοῦ Φωτίου, ἐδήλωσε δι' ἐπιστολῆς καὶ διὰ τῶν τοποτηρητῶν αὐτοῦ τῇ Συνόδῳ, ὅτι θεωρεῖ ἀκύρους ἁπάσας τὰς προτέρας κατὰ τοῦ Φωτίου ἀποφάσεις τοῦ Βατικανοῦ· ἡ δὲ Σύνοδος ὥρισεν, ἵνα οἱ ὑπὸ τοῦ Φωτίου καταχριθέντες θεωρῶνται τοιοῦτοι ὑπὸ τοῦ Ἰωάννου καὶ τἀνάπαλιν. Ἡ

γαρίαν τοῖς τοῦ Πάπα τοποτηρηταῖς παραδῷ . . . . » (Προλεγ. Ἐπ. σελ. 70-72).

(¹) « Ἐπεὶ δὲ ἐκεῖνος (ὁ Ἰγνάτιος) τῶν ἀνθρωπίνων μετέστη, λέγει ὁ ἱερώτατος Φώτιος, αὐτίκα ὁ φιλόχριστος ἡμῶν Βασιλεὺς πρῶτα μὲν διά τινων μυστικωτέρων τῆς ἐμῆς ἀπεπειρᾶτο γνώμης, εἶτα δὲ ἐν τῷ φανερῷ διὰ τῶν αὐτοῦ Πατρικίων τὰ τῆς αὐτοῦ βουλῆς διεδήλου, ἐπιτιθεὶς ᾧ νῦν οὐδὲ μία ἐστὶν ἀφορμή, οὐδὲ σκανδάλων τινῶν ὑπολογισμός, οὐδὲ γήρως ἔλεος, οὐδ' ἀθέτησις τῆς μεταξὺ ἀλλήλων εἰρήνης· ὁ τῶν ἐπισκόπων χορὸς ζητεῖ τὴν σὴν ἄνοδον, ἡ τῶν ὑπερορίων ἐλευθερία, οἱ ἀρχιερατικοὶ θρόνοι σύμψηφοι. Ἄνελθε εἰς τὸν θρόνον σου καὶ ποίμανε τὸ ποίμνιόν σου, ὃ ὁ Χριστὸς ἄνωθεν ἐν σοὶ κατεπίστευσε. Τὸ μὲν οὖν βασιλικὸν δήλωμα ἐν τούτοις περιεγράφετο· ἐγὼ δὲ πρὸς τοὺς παραγεγονότας εἶπον, ὅτι μὲν οὐκ ἀναλγήτως ἤνεγκα τὰ συμβεβηκότα πάλαι, οὐκ ἂν τὴν ἐμὴν διαψευσαίμην ἀλήθειαν, πλὴν τὸ μέγα τῶν ἀλγημάτων ἦν ἡ τῶν ἀρχιερέων τοῦ Θεοῦ καὶ ἱερέων ταλαιπωρία καὶ φυγὴ ὑπερόριος. Γενέσθω οὖν ἐν αὐτοῖς πᾶσιν ἡ πρέπουσα παραμυθία καὶ παράκλησις, καὶ τῶν οἰκείων θρόνων ἀποκατάστασις. Ἐρρέτωσαν δὲ αἱ καθ' ἡμῶν συκοφαντίαι, οὐχ ἡμῶν χάριν, ἀλλ' ἵνα μὴ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ δι' ἐμὲ μῶμον ἐπιτρίβοιτο. Ἐγὼ δὲ χρείαν τινὸς οὐκ ἔχω, ἀλλ' ἀντὶ πάντων ἔχω τὸ ἥμερον καὶ γαληνὸν τῆς τοῦ βασιλέως ἡμῶν τοῦ ἁγίου περὶ ἐμὲ διαθέσεως. Ἐπεὶ οὖν ἡ ἀποστολὴ τῶν Πατρικίων οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς γενομένη ἀπεπέμπετο ἄπρακτος, αὐτὸς ἐκεῖνος ὁ φιλάνθρωπος καὶ ἀγαθὸς ἡμῶν βασιλεὺς πρὸς ἡμᾶς παραγεγονὼς πολλοῖς λόγοις τὴν ἀνάγκην ἐπήγαγεν. Ἃ μὲν οὖν ἐλαλήθη τότε καὶ οἷς ἔπεισεν ἡμᾶς κατανεῦσαι οὐ τοῦ παρόντος λέγειν καιροῦ . . . . » Πρακτ. τῆς Ἡ Συνόδ. Πρ. Β΄).

(²) Ἡ σύνοδος αὐτη, ἧς προεξῆρχεν ὁ θεῖος Φώτιος συνεκροτήθη ἐν τῷ ναῷ τῆς ἁγίας Σοφίας. Σ. Μ.

Σύνοδος ἐποιήσατο πολλὰς τῇ Ἐκκλησίᾳ ὠφελίμους διατάξεις, ὧν ἡ σπουδαιοτάτη ἐστὶ τὸ μηδὲν καινὸν προστιθέναι τῷ τῆς Πίστεως Συμβόλῳ. Ἡ Βουλγαρία πάλιν οὐκ ἐδόθη τῷ Πάπᾳ(1). Τὸ τελευταῖον περιστατικὸν παρώξυνε τὴν ὀργὴν τῶν ἐν Ρώμῃ. Οἱ διάδοχοι τοῦ Ἰωάννου ἐπανέλαβον τὸ κατὰ τοῦ ἱερωτάτου Φωτίου ἀνάθεμα. Ἀλλὰ τοῦτο ἦν ἤδη φανερὸν ἔργον φιλοδοξίας, ἣν καὶ περικαλύψαι ἀδύνατον ἦν. Τῷ 886 ἐτελεύτησεν ὁ Αὐτοκράτωρ Βασίλειος, ὁ δὲ διάδοχος αὐτοῦ Λέων, ὃν ἐξεπαίδευσεν ὁ Φώτιος, καὶ ὅν, διαβληθέντα ποτε πρὸς τὸν πατέρα, ὡς ἐπιβουλεύοντα αὐτῷ, καὶ μέλλοντα πηρωθῆναι τὰς ὄψεις, ἐρρύσατο, καταβιβάζει τοῦ πατριαρχικοῦ θρόνου ταῖς κατ' αὐτοῦ διαβολαῖς τῶν μυστικῶν τοῦ Πάπα ὑπηρετῶν πιστεύσας (2). Ὁ πολύτλας Διδάσκαλος ἐξεδήμησε πρὸς Κύριον

(1) Τὰ πρακτικὰ τῆς Συνόδου ἐξεδόθησαν ὑπὸ Beverige in Pandect. T. II. p. 273. 293-307. Πληρέστερον ἐξεδόθησαν τὸ πρῶτον ὑπὸ Γαρδουΐνου in VI. tom. Concil p. 214-314, εἶτα δὲ ὑπὸ τοῦ ἐπισκ. Ρημνίκου Ἀνθίμου τοῦ ἐξ Ἰβηρίας: Τόμ. χαρᾶς, ἐν ᾧ περιέχονται αἱ ἐπιστολαὶ Φωτίου... ἡ ἁγία καὶ οἰκουμεν. ὀγδόη Σύνοδος κ. τ. λ. ἐν ἔτει ͵αψε'. Περὶ τοῦ Ἰωάννου βλ. κατωτερω. Αἱ ἐπιστ. τοῦ Ἰωάννου πρὸς τὸν Φώτιον καὶ τὰ Πρακτ. τῆς Συν. ἐκ συγγράμματ. τοῦ Βέκκου ἐν τῇ συνοδ. Βιβλιοθ. τῆς Μόσχας cod. 234. Ἐν τῷ λατιν. κειμ. Johannis VIII. ep. 250 ad Photium ἑτέρα ἐπ. 251. ad Imperatorem data Augusti indict. XIII. (880). Ἐν τῇ πρώτῃ εἴρηται « Ea, quæ pro causa tuæ restitutionis synodali decreto Constantinopoli misericorditer acta sunt recipimus ». Ὁ Βαρώνιος (Annal. an. 879. n. 73), καὶ ὁ Βελλαρμῖνος (de Concil. liq. I.) ἔλεγον, ὅτι ἡ Σύνοδος αὕτη ἐστὶν πλάσμα τοῦ Φωτίου· ὁ δ' Ἀλλάτιος (de octav. Syn. Photii, Romae 1664, de eccles. Occid. atque orient. perpet. consens. p. 591) ἐκήρυττε τοῦτο ὡς ἀναμφήριστον ἀλήθειαν. Ἀλλ' ἡ πάλη αὕτη πρὸς τὴν ἱστορικὴν ἀλήθειάν ἐστιν οἰκτρά. Ἰωσὴφ ὁ Βρυέννιος (τῷ 1420) ἔγραφεν, ὅτι καὶ μέχρις αὐτοῦ ἐσώζοντο τὰ πρακτικὰ ταύτης τῆς Συν. φέροντα τὰς ἰδιοχείρους ὑπογραφ. τῶν τοποτηρητῶν τοῦ Πάπα (Λόγ. η' περὶ τῆς ἁγίας Τριάδος Βρυεννίου τὰ εὑρεθέντα, δι' ἐπιμελείας Εὐγενίου Διακόνου τοῦ Βουλγάρεως, ἤδη πρῶτον τύποις ἐκδοθ. σελ. 39).

(2) Ὁ Λέων ἔσπευσεν ἀναγγεῖλαι τῷ Πάπᾳ Στεφάνῳ τὴν ἐκλογὴν τοῦ νέου Πατριάχου· ἀλλὰ συνειδώς, ὅτι οὐδεμίαν ἠδύνατο προσάψαι τῷ

τῇ ς´ Φεβρουαρίου τοῦ 891ου ἔτους ἐν τῇ τῶν Ἀρμενιανῶν μονῇ, ἔνθα ἐνέκλεισεν αὐτὸν ὁ Λέων.

§. 283. γ´] Παιδεία αὐτοῦ καὶ σπουδαιότης ἐν τῇ Ἐκκλησίᾳ· συγγράμματα κατὰ Λατίνων.

Ὁ Φώτιος καὶ κατὰ τὸν ἠθικὸν χαρακτῆρα, καὶ κατὰ τὰ χαρίσματα τοῦ νοῦ, καὶ κατὰ τὴν πολυμάθειαν ἀνῆκεν οὐχὶ εἰς τὸν αἰῶνα αὐτοῦ, ἀλλ' εἰς τοιοῦτον, οἷος ἦν ὁ τέταρτος, καθ' ὃν ἤκμασαν οἱ μέγιστοι τῶν Διδασκάλων τῆς Ἐκκλησίας. Ἦν πάσης παιδείας ἀνάπλεως· ἦν πάμπλουτος φιλόλογος, μεγαλοφυέστατος κριτικός, βαθύτατος θεολόγος, ἀκριβέστατος ἱστορικός, ἔξοχος φιλόσοφος, περινούστατος πολιτικός, διαπρεπέστατος νομικός, εὐφραδέστατος ῥήτωρ, διάσημος ἰατρὸς καὶ μαθηματικός. Αὐτοὶ οἱ ἐχθροὶ αὐτοῦ ἠναγκάσθησαν εἰπεῖν περὶ αὐτοῦ: «Γραμματικῆς μὲν γὰρ καὶ ποιήσεως, ῥητορικῆς τε καὶ φιλοσοφίας, καὶ δὴ καὶ ἰατρικῆς, καὶ πάσης, ὀλίγου δεῖν, ἐπιστήμης τῶν θύραθεν τοσοῦτον αὐτῷ τὸ περιττόν, ὡς μὴ μόνον, σχεδὸν φάναι, τῶν κατὰ τὴν αὐτοῦ γενεὰν πάντων διενεγκεῖν, ἤδη δὲ καὶ πρὸς τοὺς παλαιοὺς αὐτὸν διαμιλλᾶσθαι. Πάντα γὰρ συνέτρεχεν ἐπ' αὐτῷ, ἡ ἐπιτηδειότης τῆς φύσεως, ἡ σπουδή, ὁ πλοῦτος, δι' ὃ καὶ βίβλος ἐπ' αὐτὸν ἔρρει πᾶσα, πλέον δὲ ταύτης ὁ τῆς δόξης ἔρως, δι' ὃν αὐτῷ καὶ νύκτες ἄϋπνοι, περὶ τὴν ἀνάγνωσιν ἐμμελῶς ἐσχολακότι» (1). Ὁ Φώτιος ἠγάπα τὰς ἐπιστήμας δι' ἑαυτόν τε καὶ τοὺς ἄλλους· ὤφειλε μάχεσθαι πρὸς τὸ πνεῦμα τοῦ χρόνου, ὅπως ἀποκαταστήσῃ τὴν ἐν τῇ Αὐτοκρατορείᾳ καταπεσοῦσαν παιδείαν. Μία τῶν αἰτιῶν τῆς πρὸς αὐτὸν ἀπεχθείας ἐνίων ἐπισκόπων, οὐκ ἀμετόχων ἄλλως εὐσεβείας, ἀλλ' ἐχθρικῶς διακειμένων πρὸς τὰς ἐπιστήμας, ἦν κατ' ἐξοχὴν ὁ πρὸς τὴν παιδείαν ἔρως αὐτοῦ (2).

ἱερωτάτῳ Φωτίῳ κατηγορίαν, λέγει «ὅτι Φώτιος ἡσυχαστικὴν ζωὴν ἡρετίσατο, καὶ ἐνυπογράφως τὸν θρόνον παρῃτήσατο, καὶ πράττειν τὰ ἑαυτοῦ συνεφώνησε, ταπείνωσιν ἀντὶ ὑπερηφανίας ἑλόμενος». Περὶ τῆς σωτηρίας τοῦ Λέοντος ὑπὸ τοῦ Φωτίου ὁμιλοῦσι Λέων ὁ Γραμματικός, Ἰωάννης ὁ Σκυλίτζης, ὁ Ζωναρᾶς, καὶ αὐτὸς ὁ Βασιλείου υἱωνὸς Κωνσταντῖνος.

(1) Νικήτ. ἐν βίῳ Ἰγνατίου σ. 877.

(2) Βλ. Πρακτ. τῆς Η´ Συνόδου.

Ὁ θεῖος ἀνὴρ ἐσπούδαζε παντὶ σθένει γενέσθαι ὠφέλιμος τῇ ὀρθοδόξῳ Ἐκκλησίᾳ. Ἡ ἱστορία τοῦ βίου αὐτοῦ καταδείκνυσιν, ὅτι τῇ εὐσταθείᾳ αὐτοῦ, εὐσταθείᾳ ἐπιρρωνυμένῃ ὑπὸ τῆς θείας χάριτος ἐν μέσῳ αἱματηροῦ ἀγῶνος, ὀφείλει ἡ Ἐκκλησία τὴν ἑαυτῆς σωτηρίαν ἀπὸ τῆς φιλαρχίας τῶν Παπῶν καὶ τῶν παπικῶν αὐθαιρεσιῶν, διότι, ὡς προδηλότατον, ὁ Πάπας οὐκ ἐθήρευε τὴν ὑπεράσπισιν τοῦ Ἰγνατίου,—ὅν, καθάπερ καὶ τὸν Φώτιον, ἀνεθεμάτισεν, ἀλλὰ τὸ ζήτημα ἦν τὸ ἑξῆς: ἀνομολογεῖ ἡ Ἀνατ. Ἐκκλησία τὸν Πάπαν οἰκουμενικὸν κριτήν, καὶ ἀποδέχεται ἄνευ ἀντιρρήσεως τὰς ἀποφάσεις αὐτοῦ, οἱαιδήποτε καὶ ἂν ὦσι; Προφανὲς καὶ τοῦτο, ὅτι τὸ πρὸς τὸν Πάπαν ἀγωνίζεσθαι τότε, οὐ μόνον ἐν τῇ Δύσει πάνυ ἰσχυρὸν ὄντα, ἀλλὰ καὶ ἐν τῇ Ἀνατολῇ οὐκ ὀλίγον στερεωθέντα, ἦν οὐ λίαν ῥάδιον. Ὁ Φώτιος ἐξεδήλωσε τὴν εὐαγγελικὴν ἀλήθειαν, ἤλεγξε τὰς κατὰ τοῦ χριστιανικοῦ πνεύματος πλάνας, καὶ ἐκ τούτου τοσούτους καὶ τηλικούτους ὑπέστη διωγμούς. Εἰ ἔνιοι τῶν συγχρόνων τῷ μεγάλῳ Διδασκάλῳ περὶ ὀλίγου ἐποιήσαντο αὐτόν, καὶ δὴ καὶ κατέχεαν αὐτοῦ ὕβρεις καὶ συκοφαντίας, οὐδαμῶς θαυμαστόν. Τοῦτο πέπρωται τοῖς μεγάλοις ἀνδράσι, καὶ τοῦτό ἐστι τὸ γνώρισμα αὐτῶν. Ὁ Φώτιος ἐστήριξε τὰς θεμελίους ἀρχὰς τῆς ὀρθοδοξίας καὶ τῆς ὀρθοδόξου Ἐκκλησίας, ἐνῷ ἐν τῇ Δύσει ὑπὸ τὴν ἐξουσίαν τῆς αὐθαιρέτου ἀμαθείας ἐπὶ μᾶλλον καὶ μᾶλλον ἤρξαντο ποικίλαις πλάναις περιπίπτειν. Ἐντεῦθεν ἀπέδοσαν τῷ Φωτίῳ τὴν προσήκουσαν τιμὴν ἀνὰ πᾶσαν τὴν Ἀνατολήν (¹). Ἰδοὺ τί ἔγραφε περὶ αὐτοῦ ὁ Πατριάρχης

(¹) Ἡ ἑλληνικὴ Ἐκκλησία ἀπέδωκε τῷ ἱερωτάτῳ Φωτίῳ τὴν προσήκουσαν τιμήν, παρ' ἁπάσας τὰς κατ' αὐτοῦ οἰκτρὰς συκοφαντίας τῶν Παπῶν. Ἐν ἀρχαιοτάτῳ χειρογρ. τῆς Βιέννης (Cod. Theolog. 64. N. 23) τὸ περὶ ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος σύγγραμμα αὐτοῦ καλεῖται σύγγραμμα τοῦ ἁγιωτάτου Πατριάρχου Φωτίου. Αὐτόθι (Cod. Theolog. 79. N. 9) Ὁμιλίαι Φωτίου τοῦ ἁγιωτάτου Πατριάρχου. Ἡ κατὰ τὸ 1155 ἐν Κωνσταντινουπόλει συγκροτηθεῖσα Σύνοδος ἐν τῷ ἀριθμῷ τῶν χρήσεων τῶν Πατέρων ἀναφέρει χωρία α') ἐκ τοῦ λόγου τοῦ Π. Φωτίου περὶ τῆς τοῦ ἁγίου Πνεύματος μυσταγωγίας, καὶ ἐκ τοῦ λόγου, οὗ ἡ ἀρχή: « Πῶς θελητός τε καὶ ἀθέλητος τῷ Πατρὶ ὁ θάνατος λέγοιτ' ἂν εἶναι

Νικόλαος, ἱεράρχης φιλαλήθης καὶ ἁγίου βίου: «Οὐ λανθάνει τὴν ὑμετέραν σύνεσιν, γράφει τῷ Ἀμηρᾷ τῆς Κρήτης, ὅτι περ ὁ ἐν ἀρχιερεῦσι Θεοῦ μέγιστος καὶ ἀοίδιμος Φώτιος, ὁ ἐμὸς ἐν Πνεύματι Ἁγίῳ Πατήρ, πρὸς τὸν πατέρα τῆς Ὑμῶν εὐγενείας οὕτω συνῆπτο τῇ τοῦ πόθου σχέσει, ὡς οὐδεὶς οὐδὲ τῶν ὁμοδόξων καὶ ὁμοφύλων φιλικῶς διετέθειντο πρὸς ὑμᾶς. Ἄνθρωπος γὰρ ὢν τοῦ Θεοῦ καὶ τὰ ἀνθρώπινα ᾔδει, ὅτι κἂν τὸ τοῦ σεβάσματος διΐστη διατείχισμα, ἀλλὰ τό γε τῆς φρονήσεως, τῆς ἀγχινοίας, τοῦ τρόπου τὸ εὐσταθές, τὸ τῆς φιλανθρωπίας, τὰ λοιπὰ ὅσα κοσμεῖ καὶ σεμνύνει τὴν ἀνθρωπίνην φύσιν προσόντα, πόθον ἀναφλέγει τοῖς τὰ καλὰ φιλοῦσι τῶν οἷς πρόσεστι τὰ φιλούμενα» [1]. Οὐ δεῖ δ' ἐπιλανθάνεσθαι, ὅτι ὁ Φώτιός ἐστιν ἅπασι τοῖς σλαβικοῖς φύλοις ὁ πρῶτος κήρυξ τοῦ Εὐαγγελίου, ὁ τῷ καθαρῷ τοῦ Χριστοῦ φωτὶ φωτίσας αὐτούς.

Τὰ συγγράμματα τοῦ Φωτίου εἰσὶ πολυάριθμα, ποικίλα, καὶ παντὸς θαυμασμοῦ ἄξια.

1.) Δογματικὰ ἅμα καὶ πολεμικὰ συγγράμματα.

α') Κατὰ Λατίνων. Τὰ συγγράμματα ταῦτα μένουσιν ὡς ἐπὶ τὸ πλεῖστον ἐν χειρογράφοις. Ἰδίως δὲ λυπηρόν, ὅτι οὐκ ἐξεδόθη ἄχρι τοῦ νῦν ἡ περὶ τῆς τοῦ ἁγίου Πνεύματος μυσταγωγίας μακρὰ καὶ ἐξαίρετος πραγματεία. Καὶ αὐτὸς ὁ Καρδινάλιος Μάϊος ἀποδίδωσιν αὐτῇ τὴν προσήκουσαν τιμὴν διά τε τὴν σαφήνειαν καὶ τὸν ἐν αὐτῇ θεολογικὸν πλοῦτον. Ἡ ὑπόθεσις τοῦ συγγράμματος τούτου ἐστί, κατὰ τὸν Μάϊον, ἥδε: Ἐν τοῖς πρώ-

---

τοῦ Χριστοῦ; καὶ πῶς πάλιν ὁ αὐτὸς συνέλθοι τῷ πονηρῷ θελητός τε ἅμα εἶναι καὶ ἀθέλητος;» (Ap. Maii Spicileg. Roman. T. X. p. 38. 52). Ὁ Π. Μιχαὴλ ἐν τῇ ἐπιστ. πρὸς τὴν Ἐκκλησίαν τῆς Ἀλεξανδρείας: «Ἰγνατίου καὶ Φωτίου, τῶν ἁγιωτάτων, ὀρθοδόξων, καὶ ἀοιδίμων Πατριαρχῶν αἰωνία ἡ μνήμη! (Bibl. Coislin. p. 99.) Μάρκος ὁ Ἐφέσου ἐχρῆτο μάρτυρι τῷ Φωτίῳ ἐν τῇ ὁμολογίᾳ τῆς ἑαυτοῦ πίστεως κατὰ τὴν ἐν Φλωρεντίᾳ σύνοδον.

(1) Πατρ. Νικολάου ἐπιστ. Β' τῷ περιδόξῳ καὶ λαμπροτάτῳ Ἀμηρᾷ τῆς Κρήτης καὶ ἠγαπημένῳ in Spicil. Roman. Tom. X. p. 167-168.

τοις λζ΄ κεφαλ. ἐκτίθενται αἱ ἀποδείξεις περὶ τοῦ ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται ἐκ μόνου τοῦ Πατρός. Ἐν τοῖς λη΄—μγ΄ λύεται ἡ ἔνστασις ἡ ἐξαγομένη ἐκ τῶν λόγων τοῦ Ἀποστόλου: «Ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ Αὐτοῦ» (Γαλάτ. δ΄ 6). Περαιτέρω δὲ ἀναφέρονται οἱ λόγοι τοῦ Ἀμβροσ. καὶ τοῦ Αὐγουστίνου περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος καὶ ἐκ τοῦ Υἱοῦ, καὶ τὴν ἐξ αὐτῶν τῶν λόγων ἀμφιβολίαν λύει ὁ Φώτιος λέγων πρὸς τοῖς ἄλλοις, ὅτι καὶ ἄλλοι διδάσκαλοι τῆς Ἐκκλησίας ἀπεφαίνοντο οὐχὶ ἀείποτε ὀρθῶς περί τινων τῆς πίστεως ἀληθειῶν. Ἔπειτα παράγονται αἱ τῶν ρωμαίων Παπῶν Δαμάσου, Καιλεστίνου, Λέοντος τοῦ Μεγάλου, Βιγιλίου, Ἀγάθωνος, Γρηγορίου τοῦ Μεγάλου, Ζαχαρίου, καὶ Λέοντος τοῦ Γ΄ περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος ἐκ μόνου τοῦ Πατρὸς μαρτυρίαι. Τέλος ἐκτίθεται ἡ διήγησις περὶ τῶν ἀργυρῶν ἀσπίδων, ἐφ᾽ ὧν ἐνεχαράχθη ἐν Ρώμῃ τὸ Σύμβολον τῆς πίστεως ἄνευ τῆς προσθήκης καὶ ἐκ τοῦ Υἱοῦ, καὶ οὕτω τελευτᾷ τὸ σύγγραμμα. Περὶ δὲ Ἰωάννου τοῦ Η΄ καὶ Ἀδριανοῦ τοῦ Γ΄ γράφει τάδε: «Ὁ δὲ ἐμὸς Ἰωάννης (ἐμὸς γὰρ τά τε ἄλλα, καὶ ὅτι πλέον τῶν ἄλλων ἐξῳκείωτο τὰ ἡμέτερα)· οὗτος τοίνυν ὁ Ἰωάννης ἡμέτερος ὁ τὸν νοῦν μὲν ἀνδρεῖος, ἀνδρεῖος δὲ τὴν εὐσέβειαν, ἀνδρεῖος δὲ μισεῖν καὶ καταβάλλειν ἀδικίαν πᾶσαν καὶ δυσσέβειαν, καὶ οὐχ ἱεροῖς θεσμοῖς μόνον, ἀλλὰ καὶ πολιτικοῖς ἐπαρκεῖν δυνάμεως καὶ τὸ ἄτακτον εἰς τάξιν μεταβάλλειν· οὗτος ὁ κεχαριτωμένος τῆς Ρώμης Ἀρχιερεὺς διὰ τῶν αὐτοῦ θεοσεβεστάτων καὶ περιδόξων τοποτηρητῶν Παύλου καὶ Εὐγενίου καὶ Πέτρου τῶν ἀρχιερέων καὶ ἱερέων Θεοῦ ἐν τῇ καθ᾽ ἡμᾶς Συνόδῳ παραγεγονότων, ὡς ἡ Καθολικὴ τοῦ Θεοῦ Ἐκκλησία καὶ οἱ πρὸ αὐτοῦ τῆς Ρώμης Ἀρχιερεῖς, τὸ τῆς πίστεως ἀποδεχόμενος Σύμβολον, γνώμῃ καὶ γλώσσῃ καὶ χερσὶν ἱεραῖς τῶν εἰρημένων περιφανεστάτων καὶ θαυμασίων ἀνδρῶν ὑπέγραψέ τε καὶ ἐπεσφραγίσατο. Ναὶ δὴ καὶ ὁ μετ᾽ ἐκεῖνον ἱερὸς Ἀδριανὸς συνοδικὴν ἡμῖν ἐπιστολήν, ὥσπερ ἔθος παλαιόν, ἀναπέμψας, τὴν αὐτὴν εὐσέβειαν δι᾽ αὐτῆς ἀνεκήρυττε καὶ τὸ Πνεῦμα τοῦ Πατρὸς ἐθεολόγει ἐκπορεύεσθαι» (1). Περὶ

(1) Maii Praefat. ad I .tom. Collection. Vert. Auctor. p. 28-35. Romæ, 1830. Ἡ πραγματεία αὕτη ἄρχεται ὧδε: «Ἐν πολλοῖς μὲν εἰ-

τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος ἔγραψεν ὁ μέγας Διδάσκαλος πολλὰ συγγράμματα (1). Μεταξὺ τῶν ἄλλων ἔγραψε περὶ τῆς αὐτῆς ὑποθέσεως πάνυ μακρὰν ἐπιστολὴν πρὸς τὸν Ἀκυληΐας Μητροπολίτην (2). Ἐνταῦθα τιθεὶς ὡς θεμέλιον τοὺς λόγους τοῦ Κυρίου περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος ἐκ τοῦ Πατρός, ἀναφέρει α΄) τὴν ἐπιστολὴν Λέοντος τοῦ Α΄ πρὸς τὸν Φλαβιανὸν καὶ τὴν διάταξιν Λέοντος τοῦ Γ΄ β΄) τὴν πίστιν ἁπάσης τῆς ρωμαϊκῆς Ἐκκλησίας καὶ ἁπάσης καθόλου τῆς ὀρθοδόξου Ἐκκλησίας· γ΄) ἐξάγει συμπεράσματά τινα δεικνύντα τὸ ἄτοπον τῆς μερικῆς λατινικῆς δοξασίας δ΄) ἑρμηνεύει τὰς φράσεις : Πνεῦμα τοῦ Υἱοῦ καὶ ἐκ

σιν οἱ ἔλεγχοι πολυστίχοις ἐσπαρμένοι λόγοις, δι᾽ ὧν ἡ ὀφρὺς κατασπᾶται τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατέχειν φιλονεικούντων». Αὐτὸ τοῦτο τὸ σύγγραμμα ὑπάρχει καὶ ἐν τῇ συνοδ. Βιβλιοθ. τῆς Μόσχας, ἀλλ᾽ οὐ πλῆρες (Cod. 393. n. 11.). Τὸ αὐτὸ ἀναγινώσκεται ἐν παρισ. χειρογρ. (Crd. 1228) καὶ ἐν τῇ τῆς Βιέννης Βιβλιοθ. (Cod. theolog. 64. Lambec. comm. 3. 117). Ὁ Ἀλλάτιος ἀποκαλεῖ αὐτὸ ἐξαίρετον καὶ ποιεῖται ἐξ αὐτοῦ ἐκλογὰς Cont. Hottingerum c. 18. p. 290. c. 19. p. 414. de Eccles. Consens. p. 575, 622, 631.

(1) « Φωτίου Πατριάρχου κατὰ τῶν τῆς Παλαιᾶς Ρώμης, ὅτι ἐκ τοῦ Πατρὸς μόνον ἐκπορεύεται τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ᾽ οὐχὶ καὶ ἐκ τοῦ Υἱοῦ», — ἐν τῷ κολβερτινῷ χειρογράφῳ Cod. 444, καὶ ἐν ἄλλοις πολλοῖς. Τεμάχια ἐκ τοῦ συγγράμματος τούτου ἐξέδωκεν ὁ Οὐσσέριος (Dissertat. de Symbolo p. 25). χωρία τινὰ αὐτοῦ παράγει ὁ Ἀλλάτιος (cont. Grengthonum. p. 232. 244. Cont. Hottingerum. p. 417), ἀμφιβάλλων περὶ τῆς γνησιότητος παρὰ τὰς ἀναμφιβόλους ἀποδείξεις τῶν χειρογράφων. « Κατὰ Λατίνων περὶ τοῦ ἁγίου Πνεύματος», οὗ ἡ ἀρχή : «Τίς ὅλως ἀνάσχοιτο τῶν ἐν χριστιανοῖς τελούντων ἐπὶ τῆς ἁγίας Τριάδος δύο εἰσάγειν αἰτίας ;» ἐν τῇ συνοδικῇ Βιβλιοθ. τῆς Μόσχας cod. 353. n. 24. cod. 327. n. 39. cod. 325. n. 16. ἐν τῷ βιενν. χειρογρ. Lambec. com. III. 117. 304. de cod. 64. p. 392. de cod. 77. Ἐκ τοῦ πρώτου λόγου αὐτοῦ κατὰ Λατίνων παράγει χωρίον ὁ Ἀλλάσιος cont. Hottingerum, p. 196.

(2) Ἡ ἐπιστολὴ αὕτη ἐξεδόθη ὑπὸ Κομβεφισίου ἐν ἔτει 1672 (Auctar. Biblioth. Patrum, T. I. p. 927) μετὰ λατινικῆς μεταφράσεως καί τινων σημειώσεων.

τοῦ ἐμοῦ λήψεται. ε΄) «Ναί, φασίν· ἀλλ᾽ Ἀμβρόσιος ὁ μέγας καὶ Αὐγουστῖνος καὶ Ἱερώνυμος, καί τινες τούτοις ὁμοταγεῖς τε καὶ ἰσοστάσιοι, μέγα ὄνομα λαχόντες ἐπ᾽ ἀρετῇ καὶ βίου λαμπρότητι, τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ ἐν πολλοῖς αὐτῶν λόγοις συνέταξαν ἐκπορεύεσθαι». Ὁ Φώτιος ἀποκρίνεται: «Καὶ δὴ τούτοις πειθόμεθα οὕτω καὶ λέγειν καὶ φρονεῖν, καὶ μὴ ἀτιμάζειν Πατέρας εἰς αἱρετικὴν δόξαν διαβάλλοντες. Ἔστι δὲ πρῶτον μὲν τὸ πᾶσι πρόδηλον πρὸς αὐτοὺς εἰπεῖν, ὡς εἰ δέκα, ἢ καὶ εἴκοσί τινες τῶν Πατέρων ταύτην εἶπον τὴν φωνήν, μυρίοι δὲ οὐκ ἐφθέγξαντο, τίνες οἱ Πατέρας ἐξυβρίζοντες; οἱ τὸ πᾶν αὐτῶν τῆς εὐσεβείας ἐν ὀλίγοις περιγράφοντες, καὶ τούτους ἀντιφθεγγομένους καὶ ἀντιτασσομένους οἰκουμενικαῖς Συνόδοις καὶ ἀναριθμήτῳ πλήθει θεοφόρων Πατέρων ἀνδρῶν προβαλλόμενοι, ἢ οἱ τοὺς πολλαπλασίους συνηγόρους παραλαμβάνοντες; Ὑβρίζει τις Πατέρας, ὡς φῄς, μὴ λέγων τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι; καὶ γὰρ οὕτως ἐκεῖνοι ἐφθέγξαντο· Καὶ πῶς οὐχ ὑβρίζει πολλαπλασίους ὁ τοῦτο λέγων; Καὶ γὰρ οὖμενουν οὐδαμοῦ τοῦτο φθέγξασθαι κατεδέξαντο. Ἀλλ᾽ ὑβρίζει Πατέρας ὁ παρὰ τὴν ἐκείνων φωνὴν λέγων; Πῶς οὐχ ὑβρίζει τὸν κοινὸν δεσπότην ὁ τὴν Ἐκείνου παραχαράττων φωνήν, καὶ διδάσκαλον ἀντ᾽ Ἐκείνου ἄλλον τῆς θεολογίας προβαλλόμενος; Ἀλλὰ τίς λέγει τοῦτο; Τίς ἐστιν ὁ ὑβριστὴς τῶν περὶ Αὐγουστῖνον τὸν ἱερὸν καὶ Ἱερώνυμον καὶ Ἀμβρόσιον; ὁ τούτους ἀντιτιθεὶς τῷ κοινῷ Δεσπότῃ καὶ Διδασκάλῳ ἀντιφθεγγομένους, ἢ ὁ μηδὲν μὲν τοιοῦτον ποιῶν, κοινοῦ δὲ Δεσπότου κατακολουθεῖν ἀξιῶν πάντας τῷ θεσπίσματι;» Νέα ἔνστασις: «Ἀλλ᾽ ἢ καλῶς (φασιν) ἐδογμάτισαν, καὶ χρὴ τὸ ἐκείνων θάλπειν φρόνημα τοὺς ὅσοι τούτους Πατέρας ἐπιγράφουσιν, ἢ δυσσεβῶς εἶπον καὶ δεῖ τῷ αἱρετικῷ φρονήματι κἀκείνους συναποβάλλεσθαι». Εἰπὼν δὲ ὅτι οἱ ἐπαγόμενοι πρὸς ὑπεράσπισιν τῆς ἑαυτῶν δοξασίας ἐκείνους τοὺς ὀλίγους Πατέρας, ἐν τῇ ἀπροσεξίᾳ εἰς τοὺς λόγους τοῦ Κυρίου κατακρίνουσιν αὐτοὺς προστίθησι: «Πόσαι περιστάσεις πραγμάτων πολλοὺς ἐξεβιάζοντο, τὰ μὲν παραφθέγξασθαι, τὰ δὲ πρὸς οἰκονομίαν εἰπεῖν, τὰ δὲ καὶ τῶν ἀπειθούντων ἐπαναστάντων, τὰ δὲ καὶ ἀγνοίᾳ, οἷα δὴ περιολισθῆσαι ἀνθρώπινον; Ἄλλος γὰρ πρὸς τοὺς αἱρετίζοντας διαμαχόμενος, ἄλλος τῇ ἀσθενείᾳ συγκατιὼν τῶν ἀκροα-

τῶν, ἄλλος ἄλλο τι διαπραττόμενος, καὶ τὸν καιρὸν ἔχων πολλὰ τῆς ἀκριβείας καθυφεῖναι παρακαλοῦντα, ἐπὶ τέλει μείζονι καὶ εἶπε καὶ ἔπραξεν, ἃ μήτε λαλεῖν ἡμῖν μήτε πράττειν ἔξεστιν . . . . . Εἰ δὲ παρεφθέγξαντο μέν, ἢ διά τινα αἰτίαν νῦν ἀγνοουμένην ἡμῖν τῆς εὐθύτητος ἐξετράπησαν, οὐδεμία δὲ ζήτησις αὐτοῖς προσενήνεκται, οὐδ᾽ εἰς μάθησιν τῆς ἀληθείας οὐδεὶς αὐτοὺς παρεκάλεσε, Πατέρας μὲν οὐδὲν ἔλαττον αὐτούς, εἰ καὶ μὴ τοῦτο εἶπον, ἐπιγραψόμεθα, διά τε τοῦ βίου λαμπρόν, καὶ τῆς ἀρετῆς τὸ αἰδέσιμον, καὶ τῆς ἄλλης εὐσεβείας τὸ ἀκατάγνωστον, τοῖς δὲ λόγοις τούτων, ἐν οἷς παρηνέχθησαν, οὐχ ἑψόμεθα. Ὅσοι δὲ τούτους βιάζονται εἰς ἀντίθετον μαρτυρίαν ἐλθεῖν τῆς Δεσποτικῆς φωνῆς, οὗτοι λέξει μὲν γυμνῇ τὸν Πατέρα τούτοις χαρίζονται, ἔργῳ δὲ καὶ πάσῃ σπουδῇ εἰς τὴν τῶν πατραλοιῶν καὶ πολεμίων χώραν αὐτοὺς ἀπελαύνουσιν. Ἡμεῖς δέ, ἐπεὶ καὶ ἄλλους τινὰς τῶν μακαρίων ἡμῶν Πατέρων καὶ Διδασκάλων ἐν πολλοῖς τε ἄλλοις τῆς ἀκριβείας τῶν ὀρθῶν δογμάτων παρενεχθέντας καταλαμβάνοντες, τὸ μὲν παρενεχθὲν οὐ προσθήκην δεχόμεθα, τοὺς ἄνδρας δὲ ἀσπαζόμεθα· οὕτω καὶ τούς, εἴ τινες ὑπηνέχθησαν εἰπεῖν τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι, τὸ μὲν παρὰ τὴν Δεσποτικὴν φωνὴν οὐ δεχόμεθα, ἐκείνους δὲ τῆς τῶν Πατέρων ἀγέλης οὐκ ἀποκρίνομεν. Καὶ γὰρ καὶ Διονύσιον τὸν Ἀλεξανδρείας, τῷ χορῷ τῶν ἁγίων Πατέρων συντάττοντες τὰς ὑπ᾽ αὐτοῦ λεχθείσας πρὸς τὸν Λίβυν Σαβέλλιον Ἀρειανικὰς φωνὰς οὐμενουν οὐ συναποδεχόμεθα, ἀλλὰ καὶ παντελῶς ἐκτρεπόμεθα. Καὶ τὸν ἐν μάρτυσι μέγαν Μεθόδιον, ὃς τοὺς Ἀρχιερατικοὺς τοῦ Πατάρων θρόνου ἐπηδαλιούχησεν οἴακας, ἔτι δὲ καὶ Εἰρηναῖον τὸν Λουγδούνου ἐπίσκοπον, καὶ Παπίαν τὸν τῆς Ἱεραπόλεως, τὸν μὲν τοῦ μαρτυρίου στέφανον ἀναδησάμενον, τοὺς δὲ ἄνδρας ὄντας Ἀποστολικούς, καὶ τοῖς τοῦ βίου τρόποις τὸ θαυμάσιον ἐξαστράπτοντας, ἀλλ᾽ οὖν εἴ τί γε τῆς ἀληθείας ὠλιγώρησαν, καὶ παρηνέχθησαν φθέγξασθαι ἀπ᾽ ἐναντίας τοῦ κοινοῦ καὶ Ἐκκλησιαστικοῦ δόγματος, ἐν τούτοις μὲν οὐχ ἑπόμεθα, τῆς Πατρικῆς δὲ τιμῆς καὶ δόξης οὐμενουν οὐδὲν αὐτῶν περικόπτομεν». Ἐπὶ δὲ τούτοις λέγει, ὅτι καὶ Ἀδριανὸς ὁ Α΄, ἐφ᾽ οὗ ἐγένετο (τῷ 787) ἡ Ζ΄ οἰκουμενικὴ Σύνοδος, ἐν οἷς πρὸς τὸν πατρόθειον αὐτοῦ Πατριάρχην Ταράσιον ἀντέγραψε, σαφῶς τε καὶ περιφανῶς φαίνεται

τὸ Πνεῦμα τὸ ἅγιον φρονῶν ἐκ τοῦ Πατρός, ἀλλ᾽ οὐκ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι. Περὶ δὲ τῶν τοῦ Π. Ἰωάννου τοῦ Η´ πρέσβεων λέγει: «Οὐκ ἐάσειν μοι δοκῶ, κἂν ἐστι πᾶσιν ἐκ τοῦ χρόνου ὑπόγυιον περιφανές, τοὺς ἐν τοῖς καθ᾽ ἡμᾶς χρόνοις πρέσβεις, οὐ μόνον ἅπαξ, ἀλλὰ καὶ τρίτον τῆς πρεσβυτέρας Ρώμης ἀναδραμόντας· οἵ, περὶ τῆς εὐσεβείας, οἷα εἰκός, ἡμῶν πρὸς αὐτοὺς λόγους ἀνακινησάντων, οὐδὲν παρηλλαγμένον τῆς ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἐξηπλωμένης εὐσεβείας, οὔτε εἶπον, οὔτε φρονοῦντες ἠλέγχθησαν. Τοὐναντίον δέ, τρανῶς μεθ᾽ ἡμῶν καὶ ἀδιστάκτως τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς ἀνεκήρυξαν ἐκπορεύεσθαι. Ἀλλὰ γὰρ καὶ Συνόδου συγκροτηθείσης ἐπί τισιν ἐκκλησιαστικοῖς κεφαλαίοις, οἱ ἐκεῖθεν ἀπεσταλμένοι τοῦ ἐν ἁγίοις Ἰωάννου Πάπα τοποτηρηταί, ὡς αὐτοῦ παρόντος ἐκείνου καὶ συνθεολογοῦντος ἡμῖν τὴν εὐσέβειαν, τῷ Συμβόλῳ τῆς πίστεως, τῷ διὰ πασῶν τῶν οἰκουμενικῶν Συνόδων κατὰ τὴν Δεσποτικὴν φωνὴν καὶ κηρυσσομένῳ καὶ κρατυνομένῳ, ὡς ὁμόφρονες, καὶ φωνῇ καὶ γλώσσῃ καὶ ἰδιοχείρῳ γραφῇ καθυπεσημήναντο».

Περὶ τῆς γνωστῆς Ἐγκυκλίου ἐπιστολῆς πρὸς τοὺς τῆς Ἀνατολῆς Ἀρχιερατικοὺς θρόνους, ἔνθα ὁ Πατριάρχης Φώτιος κατακρίνει τάς τε ἄλλας τῶν Παπιστῶν πλάνας καὶ κατ᾽ ἐξοχὴν τὴν περὶ τῆς ἐκπορεύσεως τοῦ Ἁγίου Πνεύματος καὶ ἐκ τοῦ Υἱοῦ δυσσεβῆ αὐτῶν διδασκαλίαν, ῥητέον, ὅτι διέπεμπον αὐτὴν πρὸς τὰς Ἐκκλησίας ἐξ ὀνόματος αὐτῶν καὶ οἱ διάδοχοι τοῦ θείου Πατρός, ἐν οἷς ὁ Πατριάρχης Σισίνιος, καὶ ἐντεῦθεν ἔλαβε κῦρος κανονικῆς ἐπιστολῆς (¹). Ὁ Φώτιος ἐνόει πάνυ καλῶς τὴν διαφορὰν τῶν ρωμαϊκῶν πλανῶν ἐν τῇ ἐκκλησιαστικῇ εὐταξίᾳ καὶ ταῖς ἱεροτελεστίαις ἀπὸ τῶν ἐν τῇ ὁμολογίᾳ τῆς πίστεως ὡς πρὸς τὸ ἅγιον Πνεῦμα. Τοῦτο δείκνυσι πρὸς τοῖς ἄλλοις τὸ σύγγραμμα αὐτοῦ: Αἰτιάματα μερικὰ κατὰ τῶν Φράγγων καὶ τῶν Λατίνων. Ἔγραψε καὶ περὶ τοῦ πρωτείου τοῦ Πάπα (*)·

(¹) Βλ. Ἀλλάτ. de cons. Eccles. p. 606. cont. Cregton. p. 194.

(*) Χειρόγρ. τοῦ συγγράμματος τούτου ὑπάρχει ἐν τῇ συνοδ. Βιβλιοθ. τῆς Μόσχας V. 367 (354).

§. 284. Μελέται περὶ τῶν Μανιχαίων καὶ περὶ ἄλλων δογματικῶν ὑποθέσεων· σχέσεις πρὸς τὴν Ἀρμενικ. Ἐκκλησίαν.

β΄) Τὸ σύγγραμμα τοῦ Φωτίου κατὰ τῶν Μανιχαίων ἢ Παυλικιανῶν ἐν τέσσαρσι λόγοις—ἀξίως τοῦ μεγάλου Διδασκάλου ἐλέγχει τὸν Παυλικιανισμόν. Ὁ πρῶτος λόγος περιέχει τὴν ἱστορίαν τοῦ νέου Μανιχαϊσμοῦ, ἀρξαμένου ἀπὸ Παύλου, υἱοῦ τῆς Καλλινίκης, καὶ ἀδελφοῦ τοῦ Ἰωάννου, ὅθεν οἱ νέοι Μανιχαῖοι καὶ ὠνομάζοντο Παυλικιανοί, Παυλοϊωαννῖται. Ὁ δεύτερος ἀνατρέπει ἐκείνην αὐτῶν τὴν διδασκαλίαν, ὅτι εἰ καὶ αἱ ψυχαὶ ἐποιήθησαν ὑπὸ τοῦ ἀγαθοῦ Θεοῦ, ἀλλ᾽ὅμως τὰ σώματα καὶ ὁ φυσικὸς κόσμος ὑπὸ τῆς πονηρᾶς ἀρχῆς. Ὁ τρίτος πραγματεύεται κατὰ τῆς πλάνης, ὅτι ἡ Π. Δ. καὶ ὁ μωσαϊκὸς νόμος ἐποιήθησαν ὑπὸ τῆς πονηρᾶς ἀρχῆς. Ὁ τέταρτος ἑρμηνεύει α΄) ὅτι ἡ χάρις τοῦ Εὐαγγελίου καὶ ὅ, τι ἄγει πρὸς γνῶσιν τοῦ Θεοῦ ἐν τῇ χριστιανικῇ οἰκονομίᾳ τῆς σωτηρίας, συμφωνοῦσι τῇ κοσμογονίᾳ τοῦ Μωϋσέως· β΄) ὅτι ὁ ποιήσας ἐκ τοῦ μηδενὸς τὴν αἰσθητὴν καὶ ὁρατὴν κτίσιν ἐποίησε πανσόφως καὶ τὰς λογικὰς καὶ ἀοράτους δυνάμεις· γ΄) ὅτι τὸ ἀνθρώπινον σῶμα, καθάπερ καὶ ἡ ψυχή, ἐστι προϊὸν τῆς φιλανθρώπου καὶ περὶ ἡμῶν προνοούσης Προνοίας· δ΄) ὅτι οἱ ἐν τῇ Παλαιᾷ Διαθήκῃ δοξασθέντες ἔσεβον τὸν ἀληθῆ καὶ ἀγαθὸν Θεὸν καὶ παντὶ σθένει ἀνθίσταντο τῷ πονηρῷ (1).

γ΄) Τὰ Ἀμφιλόχια τοῦ Φωτίου εἰσὶ πλουσιωτάτη συλλογὴ ἐμβριθεστάτων κρίσεων περὶ πολλῶν ζητημάτων τῆς πίστεως. Π. χ. ἐνταῦθα λύει ὁ σοφώτατος Διδάσκαλος τὰς ἐρωτήσεις: πῶς λέγεται τὸ θεῖον εἶναι ἐν τῷ παντί, καὶ πῶς ἔνεστι διαλύειν ἃ πρὸς τὴν ὑπόθεσιν ταύτην παρ᾽ἐνίων προκομίζεται διαπορούμενα; Διὰ τί μέχρι Τριάδος τὸ θεῖον προάγεται, καὶ οὔτε ἐντὸς περιγράφεται, οὔτε πορρωτέρω παρατείνεται; Πῶς λέγομεν ἓν καὶ τρία τὸ θεῖον; Πῶς ἐστὶ δυνατὸν ὅλως ἐννοεῖν τὸ θεῖον σαρκωθῆναι; Διὰ τί Θεὸς ἐσαρ-

(1) Οἱ λόγοι οὗτοι ἐξεδόθησαν ἐν τῷ ΙΓ΄ τόμ. τῆς Βιβλιοθήκης τοῦ Γαλλανδίου· ὁ πρῶτος ἐξεδόθη ὑπὸ τοῦ Μοντφωκονίου (ἐν ἔτει 1715) μετὰ λατιν. μεταφράσεως ἐν τῇ Κοισλινιανῇ αὐτοῦ Βιβλιοθήκῃ (σελ. 349 κ. ἑξ.).

κώθη; Διὰ τί ὁ Υἱὸς ἐσαρκώθη, καὶ οὐχ ἑτέρα τῆς Τριάδος ὑπόστασις; (1). Εἰς τὴν ἐρώτησιν: Πῶς θελητόν τε καὶ ἀθέλητον τῷ Πατρὶ ὁ θάνατος λέγοιτ' ἂν εἶναι τοῦ Χριστοῦ; καὶ πῶς πάλιν ὁ αὐτὸς συνέλθοι τῷ πονηρῷ θελητός τε ἅμα εἶναι καὶ ἀθέλητος; ἀποκρίνεται: αὐτὸς καθ' ἑαυτὸν ὁ Πατὴρ οὐκ ἠβούλετο τὸν θάνατον τοῦ Υἱοῦ Αὐτοῦ, ἀλλ' ὡς τιμὴ τῆς σωτηρίας τῶν ἀνθρώπων εὐάρεστος Αὐτῷ. Παράδειγμα—ὁ στρατιώτης, ὁ ἀποθνήσκων πρὸ τῶν ὀφθαλμῶν τοῦ στρατηγοῦ. Εἰς τὴν ἐρώτησιν: Τί δήποτε Μωϋσῆς ἐν τῇ κοσμογονίᾳ τῆς βασιλείας τῶν οὐρανῶν μνήμην οὐ πεποίηται, καί τοι τοῦ Σωτῆρος λέγοντος ἀπὸ καταβολῆς κόσμου τοῖς δικαίοις ταύτην ἑτοιμασθῆναι; ἀποκρίνεται: ὁ Μωϋσῆς παρεῖχε δόξαν περὶ τῆς βασιλείας τῶν οὐρανῶν, ὅτε ἔλεγεν: Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανόν. Ἀλλ' ἡ περὶ τούτου σαφὴς διδασκαλία ἀπέκειτο αὐτῷ τῷ Ποιητῇ—τῷ Χριστῷ Ἰησοῦ· ὁ παράδεισος, ἔνθα ἦν ὁ Ἀδάμ, ἦν πρόθυρον τῆς βασιλείας τῶν οὐρανῶν, οὐδὲν δὲ πλέον (2). Ὁ Φώτιος ἐπραγματεύσατο περὶ τῆς θείας προνοίας, περὶ τοῦ προσώπου τοῦ Χριστοῦ Ἰησοῦ, περὶ τῆς Θεοτόκου, περὶ τῶν ἁγίων εἰκόνων (*).

δ') Ἐν ταῖς ἐπιστολαῖς αὐτοῦ ὁ Φώτιος ἐπραγματεύσατο ἐπ' ἴσης περὶ πολλῶν καὶ ποικίλων ὑποθέσεων τῆς πίστεως. Παρ.

---

(1) Ἐξεδόθ. ἑλλην. καὶ λατιν. in V. Tom. Canisii Lect. antiqu. ed. Basnagii. Εἰ καὶ οὐκ εἴρηται, ὅτι τοῦτό ἐστι μέρος τῶν Ἀμφιλοχίων, ὅμως τοῦτο δείκνυσιν ὁ τὰ Ἀμφιλόχια ἐπιθεωρήσας Μάϊος (Praef. ad I Tom. Collect. V. Auct.). Ἐν τῷ ἀριθμῷ τῶν ὑπὸ Κανισίου ἐκδοθέντων ἓξ ζητημάτων τὸ δεύτερον περιέχει 10 θέσεις περὶ τῆς ἁγίας Τριάδος. Περὶ τῆς αὐτῆς ὑποθέσεως παρὰ Μαΐῳ Collect. p. 202. 208. 179-194., παρὰ Μοντακουτίῳ ἐπ. λγ'. Ἐνταῦθα ἀναφέρονται ἐπ' ἴσης αἱ ἐπιστ. ρπ' καὶ ρξα'.

(2) Ap. Maium Collect. Vet. Auct. T. I. p. 194. 200. 74-90. 48-53.

(*) Μεταξὺ τῶν ἐπιστολῶν τῶν ὑπὸ τοῦ Μοντακουτίου ἐκδοθεισῶν καὶ ἐν τοῖς Ἀμφιλοχίοις ταχθεισῶν αἱ λζ', λη', ξδ', καὶ ρλδ' πραγματεύονται περὶ τῶν ἁγίων εἰκόνων· αἱ λε' καὶ λς' περὶ τῆς φύσεως τοῦ Χριστοῦ Ἰησοῦ, ἡ λ' περὶ τῆς ὑπεραγίας Θεοτόκου, αἱ να'-νη' περὶ τῆς θείας Προνοίας.

χάριν ἐν τῷ πρώτῳ μέρει τῆς πρὸς Μιχαὴλ τὸν Βουλγαρίας ἄρχοντα ἐκτίθησιν ἐν ἐκτάσει τὴν περὶ πίστεως ὀρθόδοξον διδασκαλίαν· ἐν δὲ τῷ δευτέρῳ προτίθησι τοὺς κανόνας τοῦ χριστιανικοῦ βίου, παριστὰς τὴν ἀγάπην ὡς τὸ κεφάλαιον τοῦ νόμου.

Πάνυ σπουδαία ἐστὶ πολλῶν ἕνεκα ἡ πρὸς Ζαχαρίαν Καθολικὸν τῶν Ἀρμενίων ἐπιστολὴ τοῦ Φωτίου, ᾗ προτρέπει τοὺς Ἀρμενίους ἑνωθῆναι τῇ ὀρθοδόξῳ Ἐκκλησίᾳ. Εἰ καὶ ἡ ἐπιστολὴ αὕτη διεσώθη μόνον ἐν ἀρμενικῷ ἀπογράφῳ ἐφθαρμένῳ σφάλμασι τοῦ ἀντιγραφέως, ὅμως ἐστὶ τὰ μέγιστα ἀξιοσπούδαστος δογματικῶς τε καὶ ἱστορικῶς. « Πλείστας χάριτας γράφει ὁ ἁγιώτατος Διδάσκαλος, ὁμολογοῦμεν τῷ Θεῷ, οὗ τῇ χάριτι συνέβη ἡμῖν δέξασθαι τὴν τῆς Ὑμετέρας ἁγιότητος ἐπιστολήν, δηλοῦσαν τὴν καθολικὴν ὑμῶν πίστιν, καὶ μαρτυροῦσαν οὐ πολοῖς μέν, ἀλλ᾽ ἰσχυροῖς λόγοις τὸν πρὸς τὴν πνευματικὴν ἕνωσιν ὑμέτερον ζῆλον. Λίαν ἐχάρημεν ἰδόντες ἐν αὐτῇ, ὅτι, εἰ καὶ ἀμφιβάλλετε, ὡς γράφετε, περὶ τῆς ἐν Χαλκηδόνι Συνόδου καὶ ἀνομολογεῖτε αὐτὴν ὕποπτον ὡς ἀντιφάσκουσαν, ὡς λέγετε, ταῖς ἄλλαις Συνόδοις, ὅμως, ὡς προστίθετε, ὑμεῖς τὸ παράπαν οὔτε Ἰακώβου τοῦ Ζανζάλου, ἀφ᾽ οὗ οἱ Ἰακωβῖται οὔτε Ἰουλιανοῦ τοῦ Ἁλικαρνασσοῦ ἐπισκόπου, οὔτε Πέτρου τοῦ Ἀντιοχείας, οὔτε Εὐτυχοῦς ἐστε μαθηταί, ἀλλὰ τοῦ ἁγίου Γρηγορίου τοῦ μάρτυρος καὶ ὁμολογητοῦ καὶ ἁπάντων τῶν βορείων λαῶν φωτιστοῦ . . . Δι᾽ ἀκριβοῦς ἐρεύνης κατεμάθομεν, ὅτι τῷ ιε´ ἔτει μετὰ τὴν ἐκ τοῦδε τοῦ βίου πρὸς Χριστὸν ἐκδημίαν τοῦ ἁγίου Ἰσαὰκ συνεκροτήθη ἡ ἐν Χαλκηδόνι Σύνοδος. Κατὰ τοῦτο τὸ ἔτος ὁ ἅγιος Βαρδανὸς ἀνεδήσατο μετὰ τοῦ στρατοῦ αὐτοῦ τὸν στέφανον τοῦ μαρτυρίου ἐν τῇ ἐπαρχίᾳ Ἀρδακίᾳ, ἐν ᾗ ἦν ἐπίσκοπος ὁ τοῦ Λεοντίου φίλος Ἰωσήφ. Τούτου ἕνεκεν οἱ Ἀρμένιοι, καταδιωκόμενοι ὑπὸ τῶν Περσῶν, οὐκ ἠδήναντο παραγενέσθαι τῇ Συνόδῳ. Οὐ μὴν ἀλλὰ οἱ Ἀρμένιοι οὐ μόνον οὐκ ἠναντιώθησαν ἐκείνῃ τῇ Συνόδῳ, ἀλλὰ καὶ ἀπεδέξαντο τὸ κῦρος αὐτῆς μέχρι τοῦ ἐν Δεβίνῃ συνεδρίου». Περαιτέρω γράφει, ὅτι καὶ μετὰ ταῦτα παρεγένοντο οἱ Ἀρμένοι ἐν τῇ Ε´ Οἰκουμενικῇ Συνόδῳ, ἔνθα ἐπεδοκιμάσθη ἡ ἐν Χαλκηδόνι. Ἀρμένιοι ἐπίσκοποι τὸν ἀριθμὸν 21 ἦσαν καὶ ἐν τῇ ς´ οἰκουμενικῇ Συνόδῳ καὶ ἐγγράφως ἐπεδοκίμασαν τὴν τῆς Χαλκηδόνος. « Ἐπὶ τοῦ Αὐτοκράτορος Ἡρακλεί-

ου» ὁ Καθολικὸς Ἔσδρας πολλοὺς τῶν ἰδίων καὶ τῶν Σύρων ἐπισκόπων συνήγειρεν εἰς Σύνοδον· ἐπὶ τριάκοντα ἡμέρας παρετάθη ἡ ἀμφισβήτησις, καὶ τέλος οἱ Ἀρμένιοι ἑκουσίως, ἄνευ βίας ἐπεκύρωσαν ἐγγράφως τὴν Σύνοδον τῆς Χαλκηδόνος». Ἔπειτα ἔδειξεν ἡλίκοι ἱεράρχαι ἐκόσμησαν τὴν ἑλληνικὴν Ἐκκλησίαν, καὶ ἐντεῦθεν ὅσον ἀσύνετον τὸ μὴ ἕπεσθαι τῇ διδασκαλίᾳ αὐτῆς. Τέλος ἀπολογεῖται ὑπὲρ τῆς ἐν Χαλκηδόνι Συνόδου ἀνασκευάζων τοὺς ψόγους, οὓς ἐπέφερον αὐτῇ οἱ συκοφάνται (¹). Ἀδύνατον μὴ σημειῶσαι τὴν διαφοράν, τὴν εὑρισκομένην μεταξὺ τῆς ἐπιστολῆς τοῦ Φωτίου πρὸς τὸν Ζαχαρίαν καὶ τῆς τοῦ συγγόνου αὐτῷ ἐπισκόπου Νικαίας Ἰωάννου πρὸς τὸν αὐτὸν Καθολικόν (*). Ἡ μὲν πρώτη ἀποπνέει πρᾳότητα καὶ συγκατάβασιν, ἡ δὲ δευτέρα ἐστὶ λίαν ἀπότομος ἐν ταῖς περὶ τῶν Ἀρμενίων ἀποφάνσεσιν. Ἡ μὲν πρώτη στρέφει ἅπασαν τὴν προσοχὴν εἰς τὸ δόγμα, ὅπερ οὐκ εἰλικρινῶς ἀπεδέχοντο οἱ Ἀρμένιοι, ἐν δὲ τῇ δευτέρᾳ γίγνεται λόγος περὶ τῶν ἱεροτελεστιῶν.

§. 285. Ἑρμηνεία τῆς ἁγίας Γραφῆς· μνημεῖα εὐφραδείας· διάταξις τῆς λατρείας.

Ὁ Φώτιος ἔγραψε πολλὰ πρὸς διασάφησιν τῆς ἁγίας Γραφῆς. Τὸ βιβλίον αὐτοῦ, τὸ πρὸς τὸν φίλον Ἀμφιλόχιον, Μητροπολίτην Κυζίκου (²) γραφέν, καὶ ἐντεῦθεν Ἀμφιλόχια ἐπιγραφόμενον, περιέχον τὴν λύσιν 313 ζητημάτων, ἐστὶ πολυτιμότατον τοῖς ἑρμηνευταῖς τῆς ἁγίας Γραφῆς σύγγραμμα, διότι αἱ πλεῖσται τῶν

(¹) Ἡ ἐπιστολὴ αὕτη τοῦ Φωτίου πρὸς τὸν Ζαχαρίαν ἐξεδόθη λατινιστὶ ὑπὸ τοῦ Μαΐου in X. tom. Spicil. Roman. p. 448—459, ἀλλ' οὐ πλήρης. Ὁ Φώτιος ἔγραψεν ἐπιστολὴν καὶ πρὸς τὸν ἡγεμόνα τῆς Ἀρμενίας Ἀσούτιον, ἐκδοθ. ibid. p. 460-462. Ἐκ τῆς ἐπιστολῆς ταύτης γίγνεται δῆλον, ὅτι οὐχ ἅπαξ ἔγραψεν ὁ ἱερὸς Πατριάρχης πρὸς τὸν Καθολικὸν Ζαχαρίαν. Γνωστόν, ὅτι καὶ αὐτὸς ὁ Ἀσούτιος διέτριψεν ἐν Κωνσταντινουπόλει, ὅθεν ἐπανερχόμενος οἴκαδε ἐτελεύτησε.

(*) Ἡ ἐπιστολὴ τοῦ Νικαίας Ἰωάννου ἐξεδόθη ὑπὸ Κομβεφισίου, Aact. Bibl. II. 293-310.

(²) Πρὸς αὐτὸν ἐγράφησαν ἐπιστολαὶ ὑπὸ τοῦ Φωτίου. Βλ. Μοντακούτ. σελ. 190. 215. 226. 265. 295. 304.

ἀποκρίσεων ἀναφέρονται τὸ μὲν εἰς τὸν συμβιβασμὸν τῶν χωρίων τῆς Γραφῆς, τῶν φαινομένων διαφωνεῖν ἀλλήλοις, τὸ δὲ εἰς τὴν διασάφησιν τῶν κατ᾽ ἐξοχὴν σπουδαίων ρήσεων (1). Ὁ Φώτιος ἐδίδω ἐνταῦθα καὶ κανόνας περὶ τοῦ πῶς δεῖ ἑρμηνεύειν τὴν ἁγίαν Γραφήν (2). Γινώσκων δ᾽ ἄριστα τὴν ἀρχαίαν ἑλληνικὴν γλῶσσαν ἐδείκνυ τὴν πρὸς αὐτὴν σχέσιν τῆς τῶν ἁγίων Γραφῶν ἑλληνικῆς γλώσσης (3)· ἔλυε τὴν περὶ τῆς ἀσαφείας τῶν θείων Γραφῶν ἀπορίαν (4). Πρὸς τοῖς ἄλλοις ὑπερίσπιζε τὴν γνώμην τῶν λεγόντων, ὅτι ἐν τῷ κα΄ κεφαλαίῳ τῶν Παροιμιῶν ἀναγνωστέον *ἐκτήσατο* καὶ οὐχὶ *ἔκτισεν* (5). Ἐπὶ δὲ τούτοις ἔγραψεν *ἑρμηνείας τῶν τοῦ Ἀποστόλου Παύλου ἐπιστολῶν* (6), ἐξ ὧν πολλά, μᾶλλον δὲ τὰ πλεῖστα ἠρύσατο ὁ Οἰκουμένιος. Ἡ *εἰς τοὺς ψαλμοὺς* ἑρμηνεία αὐτοῦ οὐκ ἐξεδόθη ἄχρι τοῦ νῦν (7).

3) Ὁ Φώτιος κατέλιπε μνημεῖα καὶ *τῆς ρητορικῆς τέχνης*. Οὐκ ὀλίγαι τῶν ἐπιστολῶν αὐτοῦ διαπρέπουσιν ἐπί τε καλλι-

(1) Ἅπασαι αἱ 46 ἀποκρίσεις αἱ ὑπὸ τοῦ Οὐλφίου ἐκδοθεῖσαι ἀναφέρονται εἰς τὴν ἑρμηνείαν τῆς ἁγίας Γραφῆς. Ἐκ τῶν ὑπὸ τοῦ Μαΐου ἐκδοθεισῶν ἑρμηνείαν εἰς τὴν ἁγ. Γραφὴν περιέχουσιν αἱ 1-4, 6. 7. 11. 15. 20. Ἐκ τῶν ἐπιστολῶν, τῶν ἐν τοῖς Ἀμφιλοχίοις ταχθεισῶν, ἑρμηνευτικαί εἰσιν αἱ 43, 54. 61. 69. 74. 76. 151. 152. 155. 157. 176-178. 125. 127. 129. 132. 134. 181. 182. 162-164. 167. 192. 196. 208. 210. 213. 215. 216. 244-248.

(2) Ap. Maium. 1 : 20.

(3) Ἐπ. ρξε΄ ρξς΄ ξα΄.

(4) Ap. Maium 11. 12 ἐπ. ξγ΄.

(5) Ap. Maium Collect. Auct. p. 36.

(6) Αἱ ἑρμηνεῖαι τῶν τοῦ Ἀποστόλου Παύλου Ἐπιστολῶν σώζονται ἐν τῇ τῆς Κανταβριγίας Βιβλιοθήκῃ, οὐ μέντοι ἀκέραιαι. Ἐν τῇ Σειρᾷ τῶν ἑρμηνειῶν εἰς *τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον*, τῇ ὑπὸ Νικήτα τοῦ Σερρῶν γενομένῃ, παράγονται πολλαὶ ἐξηγήσεις τοῦ Φωτίου (Catal. cod. a Corderio, Tolusæ, 1647. Fabric. B. Gr. T. VIII. p. 718). Κατὰ τὸν Μάϊον, πολλαὶ τῶν τοῦ Φωτίου ἑρμηνειῶν, τῶν ἐν ταῖς *εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον* Σειραῖς παραγομένων ἐλήφθησαν ἐκ *τῶν Ἀμφιλοχίων* καὶ *τῶν Ἐπιστολῶν* αὐτοῦ.

(7) Βλ. Montfaucon. Bibl. Coislin. p. 58-59.

επείᾳ καὶ ζωηρότητι ([1]). Ἐξαίρετος ἡ μελέτη αὐτοῦ περὶ τοῦ μὴ δεῖν πρὸς τὰ ἐν τῷ βίῳ λυπηρὰ ἐπιστρέφεσθαι ([2]). Δύο ἐκδεδομένοι λόγοι αὐτοῦ, ἐπὶ κλασικῇ καθαρότητι διαπρέποντες, δεικνῦσιν ὅσον ἦν ἔξοχος ῥήτωρ([3]). Δυστυχῶς πολλοὶ ἄλλοι τῶν λόγων αὐτοῦ, ἐν οἷς ἴδοιμεν ἂν πρότυπα ῥητορικῆς εὐφραδείας, μένουσιν ἄχρι τοῦ νῦν ἀνέκδοτοι. Πάνυ θαυμάσιαι δύο ὁμιλίαι αὐτοῦ εἰς τὴν ἔφοδον τῶν Ῥώς, ὧν ἡ μὲν πρώτη ἄρχεται ὧδε: «Τί τοῦτο; Τίς ἡ χαλεπὴ αὕτη καὶ βαθεῖα πληγὴ καὶ ὀργή; Πόθεν ἡμῖν ὁ ὑπερβόρειος οὗτος καὶ φοβερὸς ἐπέσκηψε κεραυνός;» ἡ δὲ δευτέρα ὧδε: «Οἶδα μέν, ἅπαντες συνεπίστασθε, ὅσοι τε δεινοὶ συνιδεῖν ἀποστροφὴν πρὸς τοὺς ἀνθρώπους Θεοῦ, ὅσον τε ἀμαθέστερον πῶς πρὸς τὰ τοῦ Κυρίου διάκεισθε κρίματα» ([4]). Ὁ φίλος τοῦ Πατριάρχου Φωτίου, ὁ τῶν τοῦ βίου πικριῶν συμμετασχὼν αὐτῷ, Μητροπολίτης Νικομηδείας Γεώργιος, ἔγραψε κατὰ τὸν αὐτὸν χρόνον διήγησιν περὶ τῆς ἐσθῆτος τῆς Θεομήτορος. Εἰπὼν περὶ τοῦ πῶς ὁ

([1]) Τοιαῦται π. χ. αἱ Ἐπιστολαὶ 41. 72. 75. 191. 121. 147. 209.

([2]) Ἐξεδόθη ὑπὸ Κοτελερίου in Monum. Gr. Eccles. T. II. p. 806-808. Ὁ Φώτιος ἠσχολήθη καὶ περὶ τὴν ἐξήγησιν τῆς Κλίμακος Ἰωάννου τοῦ τῆς Κλίμακος (Montfaucon. B. Coislin. p. 141. Fabric. Bibl. Gr. de Climaco).

([3]) Ὁ λόγος εἰς τὸ Γενέσιον τῆς Ὑπεραγίας Θεοτόκου ἐξεδ. ὑπὸ Κομβεφισίου in Auct. B. P. Paris. 1648, καὶ ὁ λόγος, ὃς ἐπιγράφεται: «Ἔκφρασις τῆς ἐν τοῖς βασιλείοις νέας Ἐκκλησίας τῆς ὑπεραγίας Θεοτόκου, ὑπὸ Βασιλείου τοῦ Μακεδόνος οἰκοδομηθείσης».

([4]) Ἐν τῇ συλλογῇ, ἣν ἀπέστειλε τῷ 1670 ὁ Γάζης Μ. Παΐσιος ὁ Λειγαρίδης τῷ Ἐϊνσίῳ περιείχοντο 16 ὁμιλίαι τοῦ Π. Φωτίου. Τήν τε ὑπόθεσιν καὶ τὴν ἀρχὴν ἑκάστης αὐτῶν ἐκτιθεῖσιν ὁ Φαβρίκιος in B. Gr. T. XI. p. 30-32, καὶ ὁ Οὐδῖνος in Comm. in Scriptor. Ὁ Βαρουέτιος λέγει, ὅτι ὑπάρχουσιν ἐν τῇ Σκωρελιανῇ Βιβλ. ἕνδεκα ὁμιλίαι τοῦ Φωτίου. Τούτων ἡ ὑπόθεσις καὶ ἡ ἀρχὴ ἄδηλος, πλὴν δύο μόνων, ὧν ἡ μέν, κατὰ τὸν Φαβρίκιον, ἐλέχθη εἰς τὴν ἀνάληψιν, ἡ δὲ εἰς τὴν ἔφοδον τῶν Φώτων (ἐν τῷ χειρογρ. εἰς τὴν ἔφοδον τῶν Ῥώς). Ἐν τῇ συνοδ. Βιβλιοθ. τῆς Μόσχας (cod. 163. f. 6-11) σώζεται Ἐγκώμιον εἰς τὴν ἁγίαν Πρωτομάρτυρα Θέκλαν.

Πατρίκιος Γάλβιος καὶ ὁ Κάνδιδος εὗρον ἐπὶ τοῦ Αὐτοκράτορος Λέοντος τοῦ Α΄ τὴν ἁγίαν ἐσθῆτα καὶ ὅτι αὕτη κατετέθη ἐν τῷ ναῷ τῶν Βλαχερνῶν, προστίθησι: «Νῦν ἐροῦμεν τὶ συνέβη ἐφ' ἡμῶν, καὶ οὗ ἐγενόμεθα ἅπαντες αὐτόπται. Ἦν χρόνος, ὅτε τὰ ἡμέτερα εἶχε καλῶς, καὶ οὐδεὶς πόλεμος ἐφόβει ἡμᾶς . . . . Ἀλλ' ἰδοὺ ἐπῆλθεν ἡμῖν δεινῶς λάμπουσα ρομφαία, ἅπασαν τὴν οἰκουμένην καταπλήξασα. Ὁ τοσούτων ὄχλων ἄρξας ἡγεμὼν ἠβούλετο, κατὰ τὸ φαινόμενον, διὰ λόγων τῷ πιστῷ Αὐτοκράτορι ἐλθεῖν . . . . Ὅτε ἡ ἀκρὶς αὕτη ἠρήμωσεν ἅπαντα τὰ περίχωρα τῆς πόλεως, ὁ Αὐτοκράτωρ, πᾶν βασιλικὸν ἐκδυσάμενος, ἐν ἁπλῇ ἐσθῆτι τῷ θυσιαστηρίῳ τοῦ τῆς Θεομήτορος ναοῦ προσέπεσεν . . . . Ὁ Πατριάρχης οὐ διέλειπε προσευχόμενος νυκτὸς καὶ ἡμέρας ἐν τῷ αὐτῷ ναῷ . . . » (*). Περαιτέρω λέγει ὁ Γεώργιος, ὅτι ἐκ φόβου μὴ διαρπάσωσιν οἱ πολέμιοι τὸν ναὸν τῶν Βλαχερνῶν μετεκόμισαν διὰ τάχους τοὺς θησαυροὺς αὐτοῦ εἰς ἕτερον τόπον, καὶ μετὰ σπουδῆς ἀνεῴχθη ἡ λάρναξ, ἐν ᾗ ἦν ἡ ἐσθὴς τῆς Θεοτόκου. Τελευταῖον περιγράφει τὴν μετὰ τὴν ἀγρυπνίαν πανήγυριν, καὶ προστίθησιν, ὅτι ὥρισεν ὁ Πατριάρχης ἑορτάζεσθαι μεγαλοπρεπέστατα ἐν τῷ ναῷ τῶν Βλαχερνῶν τὴν ἡμέραν τῆς ἀπὸ τῶν ἐχθρῶν ἀπαλλαγῆς τῆς πρωτευούσης καὶ τῆς ἀνακομιδῆς τῆς ἁγίας ἐσθῆτος εἰς τὸν πρότερον τόπον (1). Τίνες δ' οὗτοι οἱ βάρβαροι; Τίς ἡ φοβερὰ ρομφαία; Ὁ Κομβεφίσιος ὁρᾷ ὀρθῶς ἐν τῇ φοβερᾷ ρομφαίᾳ δεινὸν κομήτην, ἀλλ' ἀπατᾶται ὡς πρὸς τὸν προσδιορισμὸν τοῦ χρόνου (2). Τῷ 864 καταπληκτικὸς κο-

(*) Τὸ χωρίον τοῦτο μετέφρασα ἐκ τοῦ ρωσσικοῦ, οὐ δυνηθεὶς εὑρεῖν τὸ ἑλληνικὸν κείμενον Σ. Μ.

(1) Ἐν τῷ ἑλλην. Μην. καὶ τῷ Ἀνθολ. τοῦ 1672 καὶ 1762 ὁ εἰς τὴν κατάθεσιν τῆς τιμίας ζώνης τῆς ὑπεραγίας Θεοτόκου κανὼν (Αὐγ. λα΄.) ἐπιγέγραπται: Κυρίου Γεωργίου, δηλ. Γεωργίου, Μ. Νικομηδείας. Ἐν τῷ σλαβ. Μην. ἀποδίδεται Ἰωσὴφ τῷ Ὑμνῳδῷ. Ἡ ὑπόθεσις αὐτοῦ δείκνυσιν, ὅτι ἐγράφη ἕνεκα καλλίστης νίκης, ἣν ἀνείλοντο κατὰ τῶν ἐχθρῶν τῆς Αὐτοκρατορίας. Ἡ ἑορτὴ τῆς τιμίας Ζώνης τῆς Θεομήτορος μετηνέχθη εἰς τὴν λα΄ Αὐγούστου τῷ 950 ἕνεκα τῆς δι' αὐτῆς ἰάσεως τῆς Αὐτοκρατείρας Ζωῆς. Βλ. Ἀνθολ. τοῦ 1767 καὶ Μηνολ. τοῦ Κιέβου.

(2) Ὁ Κομβεφίσιος ὑποτίθησιν, ὅτι τοῦτο συνέβη ἐπὶ τοῦ Αὐτοκρά-

μήτης ἐν εἴδει ρομφαίας ἐφαίνετο ἐπὶ εἴκοσιν ἡμέρας (1). Κατὰ τὸ αὐτὸ ἔτος ἠρήμωσαν οἱ Ρῶσσοι τὰ περίχωρα τῆς Κων]πόλεως. Ἐντεῦθεν πρὸς τῇ περιγραφῇ τούτου τοῦ γεγονότος, ὅπερ ἐξιστοροῦσι καὶ Λέων ὁ Γραμματικός, Συμεὼν ὁ Λογοθέτης, καὶ Γεώργιος ὁ Μοναχός, ὁ Νικομηδείας Γεώργιος ἐκτίθησιν ἡμῖν καὶ ἄλλα περιστατικά. Λυπηρόν, ἐπαναλαμβάνομεν, ὅτι αἱ ὁμιλίαι αὗται τοῦ Πατριάρχου οὔπω ἐξεδόθησαν (2). Οὐδεμία ἀμφιβολία, ὅτι, εἰ ἐξεδίδοντο, ἀπεκάλυπτον ἂν ἡμῖν ἔτι περιστατικὰ γεγονότος τοσοῦτον τῇ Ρωσσίᾳ σπουδαίου ἕνεκα τῶν ἐπακολουθημάτων αὐτοῦ (3).

4) Διάταξις τῆς λατρείας. Ὁ Πατριάρχης Φώτιος συνέταξε τὴν ἀκολουθίαν τοῦ μικροῦ Ἁγιασμοῦ (4). Ἔγραψεν ἐπ' ἴσης Σύμβολον πίστεως πρὸς τοὺς μέλλοντας χειροτονεῖσθαι ἐπισκόπους, καὶ ἐτίμησε τὸν ὁμολογητὴν τῆς πίστεως Πατριάρχην Μεθόδιον διὰ δύο στιχηρῶν (5).

τορος Ἡρακλείου. Ἀλλὰ κατὰ τὴν ἐπιδρομὴν τῶν Σκυθῶν ἐπὶ τὴν Κωνσταντινούπολιν οὐκ ἦν ἐκεῖ, ἐν ᾧ, κατὰ τὸν Γεώργιον, ἦν. Ὁ Κομβεφίσιος ὡς πρὸς τὸν χρόνον καὶ τὸ πρόσωπον τοῦ Νικομηδείας Μ. Γεωργίου, συγχέει αὐτὸν Γεωργίῳ τῷ Πισιδίας, ἐφ' ᾧ ἤλεγξεν αὐτὸν ὁ Φαβρίκιος.

(1) Cosmogonie von Schubert. s. 385.

(2) Αἱ ὁμιλίαι αὗται ἐξεδόθησαν πρό τινων ἐτῶν ἐν Κωνσταντινουπόλει ἑλληνιστὶ καὶ ρωσσιστὶ ὑπὸ τοῦ ἐπὶ πολὺν χρόνον ἐν τῇ Ἀνατολῇ διατρίψαντος σοφοῦ ἱεράρχου Πορφυρίου. Σ. Μ.

(3) Βλ. σελ. 424. σημ. 2.

(4) Μάξιμος ὁ Γραικὸς λέγει, ὅτι ὁ ἁπλοῦς λαὸς ἀνῆπτε μέχρι τῶν χρόνων τοῦ Π. Φωτίου τῇ πρώτῃ ἡμέρᾳ ἑκάστου μηνὸς πρὸ τῶν οἰκιῶν πυράς, καὶ ὅτι οἱ δεισιδαίμονες, ἡγούμενοι καθαίρειν ἑαυτούς, ἐπήδων δι' αὐτῶν. Ὁ μέγας Διδάσκαλος ὥρισε πρὸς κατάπαυσιν τούτου τοῦ ἔθους ἁγιάζειν τὸ ὕδωρ τῇ πρώτῃ ἡμέρᾳ ἑκάστου μηνός, καὶ συνέταξε τὴν ἀκολουθίαν τοῦ μικροῦ Ἁγιασμοῦ.

(5) Τὸ Σύμβολον τοῦτο ἀπόκειται, κατὰ τὸν Λαμβέκιον, ἐν τῇ τῆς Βιέννης Βιβλιοθήκῃ. Ὁ Μάϊος ἐξέδωκε τρεῖς προσευχὰς τοῦ θείου Πατρὸς ὑπὲρ τοῦ Αὐτοκράτορος Βασιλείου, γραφείσας πιθανῶς κατὰ τὴν στέψιν αὐτοῦ (Spicil. Roman. T. IX. p. 739-743). Τὰ ὑπ' αὐτοῦ γραφέντα ἐπιγράμματα ὑπάρχουσιν ἐν χειρογράφοις (Montfauc. Bibl. Coislin. p. 520).

§. 286. Ἐκκλησιαστικὸν δίκαιον· Βιβλιοθήκη.

5) Ὁ Πατριάρχης Φώτιος παρέσχε λαμπρὰς κατ' ἐξοχὴν ὑπηρεσίας τῷ Ἐκκλησιαστικῷ δικαίῳ. Ἦν πεπροικισμένος τοῖς χαρίσμασιν, ἅτινα καθιστᾶσι τὸν νομικὸν ἔξοχον, καὶ ὡς ἄριστα ἐγίνωσκε τὸ δίκαιον. Τοῦτο κατέδιξε κοσμικὸς ἔτι ὤν. Ἀναλαβὼν δὲ τὸ μέγα τῆς Ἐκκλησίας ὑπούργημα, ἐποιήσατο ἀρίστην χρῆσιν τῶν τε ἐξόχων πνευματικῶν χαρισμάτων καὶ τῆς θαυμαστῆς πολυμαθείας αὐτοῦ. Οἱ εἰς τὸ ἐκκλησιαστικὸν δίκαιον ἀφορῶντες πόνοι αὐτοῦ εἰσιν ἀΐδιον μνημεῖον τοῦ τε ἐνθέου αὐτοῦ ζήλου ὑπὲρ τῆς Ἐκκλησίας καὶ τῆς σπανίας αὐτοῦ μεγαλοφυΐας. Οἱ πρὸς τὸν Πάπαν ἀγῶνες αὐτοῦ ἦσαν ἀγῶνες ὑπὲρ τῆς ἀληθείας καὶ τῶν δικαιωμάτων τῆς οἰκουμενικῆς Ἐκκλησίας. Οἱ κανόνες τῶν ἐπ' αὐτοῦ συγκροτηθεισῶν δύο Συνόδων κηρύττουσι τρανοφθόγγως τήν τε ἔξοχον αὐτοῦ διάνοιαν καὶ τὴν πρὸς τὴν ἁγίαν Ἐκκλησίαν διάπυρον αὐτοῦ ἀγάπην [1].

Αὐτὸς ὁ θεῖος Φώτιος περιγράφει ἐν τῷ εἰς τὸν Νομοκάνονα Προλόγῳ αὐτοῦ τοὺς ὡς πρὸς τὸ ἐκκλησιαστικὸν δίκαιον πόνους αὐτοῦ [2]:

α') «Ἐπεχείρησα, λέγει, τοὺς ὑπὸ τῶν ἐν χρόνοις διαφόροις γεγενημένων ἁγίων δέκα Συνόδων ἐπὶ βεβαιώσει τοῦ σωτηρίου δόγματος καὶ χρηστῇ διδασκαλίᾳ πάντων ἀνθρώπων ἐκτεθέντας θεοπρεπεῖς κανόνας εἰς τ' αὐτὸ συναγαγεῖν, ἑκάστης Συνόδου τῇ προσηγορίᾳ τοὺς αὐτῆς ἐχομένους ὑποτιθείς». Ἔπειτα λέγει, ὅτι κατέταξεν ἐν τῇ αὐτῇ συλλογῇ καὶ τοὺς κανόνας τῶν ἁγίων Ἀποστόλων, τοὺς τῆς ἐν Καρθαγένῃ Συνόδου, καὶ ἐνίων ἁγίων Πατέρων. Καὶ πρῶτον μὲν «μέχρι τῆς Ε' Συνόδου κανόνας εἰς ἓν συναγαγεῖν ἔθετο σκοπόν», ἔπειτα δὲ εἰσήγαγεν εἰς τὴν συλλογὴν αὐτοῦ καὶ τοὺς κανόνας τῶν ἐπὶ τῆς Πατριαρχείας αὐτοῦ συγκροτηθεισῶν δύο Συνόδων. Ὁ πόνος οὗτος ἀπετελέσθη τῷ 883. Ὁ πρῶτος τοίνυν κανονικὸς πόνος τοῦ θείου Φωτίου συνίστατο ἐν τῇ συλλογῇ τῶν κανόνων τῶν

---

[1] Οἱ κανόνες οὗτοι ἐξεδόθησαν ὑπὸ Βεουεριγίου in T. II. Pandector.

[2] Ὁ Φωτίου εἰς τὸν Νομοκάνονα Πρόλογος ἐξεδόθη ὑπὸ Ἰουστέλλου ἐν τῷ Β' τόμῳ τῆς Βιβλιοθ. τοῦ ἀρχ. καν. δικαίου σ. 789.

Συνόδων καὶ τῶν ἁγίων Πατέρων. Ἡ συλλογὴ αὕτη τῶν κανόνων ἐστὶν αὐτὴ ἐκείνη, εἰς ἣν ἔγραψαν τὰς ἑρμηνείας αὐτῶν ὁ Ζωναρᾶς καὶ ὁ Βαλσαμὼν (¹).

β´) Τὸν δεύτερον αὐτοῦ κανονικὸν πόνον περιγράφει ὧδε: « Πάντων δὲ τῶν συνειλεγμένων τὴν δύναμιν εἰς τίτλους δέκα πρὸς τέτρασι συνελών, καὶ τούτων ἕκαστον εἰς διάφορα κεφάλαια διελών· εἶτα τοὺς πρὸς ἑκάστην ζήτησιν ἁρμόζοντας ὅρους ὑποθείς, τάς τε προσηγορίας τῶν αὐτοὺς εὑρόντων δηλώσας, καὶ τὸν ἀριθμὸν διὰ τῶν ἀριθμητικῶν στοιχείων, εὐσύνοπτον, ὡς οἶμαι, κατὰ δύναμιν τὸ Σύνταγμα πεποίημαι ». Δεύτερος τοίνυν καρπὸς τῶν περὶ τὸ κανονικὸν δίκαιον ἀσχολιῶν τοῦ Πατριάρχου ἦν ἡ διάταξις τῶν ἐκκλησιαστικῶν κανόνων κατὰ τὰς ὑποθέσεις, ἢ τὸ σύνταγμα αὐτῶν· ἄλλως ἐστὶ δοκίμιον ἐπιστημονικῆς ἐκθέσεως τῶν ἐν ἐνεργείᾳ ἐκκλησιαστικῶν κανόνων. Ἐν τῷ Συντάγματι αὐτοῦ ἔταξεν οὐ μόνον τοὺς κανόνας τῶν Συνόδων καὶ τῶν Πατέρων, ἀλλὰ καὶ ἐκ τῶν πολιτικῶν νόμων ἐκείνους, οἳ διακελεύονται συνῳδὰ τοῖς ἐκκλησιαστικοῖς κανόσι (²).

γ´) Τέλος, ἐπειδὴ τὸ Σύνταγμα τῶν κανόνων ἦν πάνυ μακρὸν σύγγραμμα καὶ παράγονται ἐν αὐτῷ ἐνιαχῇ τρὶς καὶ τετράκις οἱ αὐτοὶ κανόνες, συνέταξε πρὸς διευκόλυνσιν τῆς σπουδῆς τοῦ δικαίου ἐπιτομὴν αὐτοῦ — τὸν Νομοκάνονα, ἐν ᾧ ὑπὸ τὰς ἐπιγραφὰς τῶν ὑποθέσεων τοῦ δικαίου, οὐ παράγων κατὰ γράμμα τοὺς κανόνας, ἐσημείου αὐτοὺς μόνον δι᾽ ἀριθμῶν. Ἡ διαίρεσις τῆς ὑποθέσεως τῶν κανόνων περιελάμβανεν αὐτὸ ἐκεῖνο, ὅπερ ἐξετέθη ἐν τῷ Συντάγματι, μὴ καταχωριζομένων μόνον τῶν κανόνων. Ἐντεῦθεν εἴρηται ἐν τῷ τέλει αὐτοῦ: « Τέλος τῶν δέκα πρὸς τοῖς τέσσαρσι

(¹) Ἐξεδόθη μετὰ τῶν ἑρμηνειῶν τοῦ Ζωναρᾶ καὶ τοῦ Βαλσαμῶνος ὑπὸ Ἰουστέλλου ἐν τῷ Β´ Τόμ. τοῦ ἀρχ. καν. δικαίου καὶ ἐν ταῖς Πανδέκταις τοῦ Βεουεριγίου.

(²) Τὸ σύγγραμμα τοῦτο τοῦ Π. Φωτίου ἐξέδωκεν ὁ Μάϊος in Spicil. Romano, 1842, ἐν ᾧ μέχρι τούτου τοῦ χρόνου καὶ ὁ Λαμβέκιος, καὶ ὁ Φαβρίκιος, καὶ ὁ Ἀσσεμάνης (Jus Orient. T. I. p. 37), καὶ ὁ Μορέλιος (Bibl. S. Marci p. 97) ἐξελάμβανον τὴν συλλογὴν τῶν κανόνων τοῦ Φωτίου ἀντὶ τοῦ Συντάγματος, δηλ. δύο διάφορα συγγράμματα ἀντὶ ἑνός.

τίτλων τῶν παρὰ Φωτίου συνοψισθέντων ». Περὶ τῆς ἀξίας τοῦ Νομοκάνονος τοῦ Φωτίου, ἐντεῦθεν δὲ καὶ τοῦ Συντάγματος, γράφει ὁ δεινὸς κανονομαθὴς Βαλσαμών: « Παρεγγυῶμαι πᾶσι τοῖς μέλλουσιν ἀναγινώσκειν Νομοκάνονα μὴ προσχεῖν τοῖς παλαιοτέροις βιβλίοις, ἀλλ᾽ ἀναγινώσκειν τὸ παρὰ τοῦ Πατριάρχου Φωτίου ποιηθὲν καὶ εἰς τεσσερακαίδεκα τίτλους διαιρούμενον », καὶ ἔπειτα λέγει, ὅτι ἅπαντες οἱ ἄλλοι Νομοκάνονες τὸ μὲν συνεπληρώθησαν ὑπὸ διατάξεων, ἤδη ἀκυρωθεισῶν, ἢ οὐκ ἀναγκαίων, τὸ δὲ διαπρέπουσι μᾶλλον ἐπὶ πολυλογίᾳ, ἢ γνώσει τοῦ πράγματος (¹).

Ὁ ἱερώτατος Φώτιος ἡρμήνευσε πολλάκις ἐν ταῖς κατὰ τὴν πρὸς τὸν Πάπαν ἔριν ἐπιστολαῖς αὐτοῦ τὸ ἀρχαῖον ἐκκλησιαστικὸν δίκαιον συνῳδὰ τῷ γνησίῳ αὐτοῦ πνεύματι. Πρὸς καταπολέμησιν δὲ τῆς φιλοδοξίας καὶ τῆς ἀμαθείας τῶν ἐπισκόπων τῆς Ρώμης ἔγραψε πραγματείαν περὶ τῶν δικαιωμάτων τῶν ἐπισκόπων καὶ τῶν Μητροπολιτῶν, ἐρειδόμενος ἐπὶ τῶν τῆς ἀρχαιότητος μνημείων.

6) Τέλος ἐν τῇ Βιβλιοθήκῃ αὐτοῦ δείκνυται μεγαλοφυέστατος κριτικός. Ἐν αὐτῇ ἐξετάζονται ὑπὸ τοῦ θείου Πατρὸς 280 χειρόγραφα, ὧν ἔνια περιεῖχον δέκα καὶ ἔσθ᾽ ὅτε πλείονα συγγράμματα. Αἱ ἔκ τινων ἀρχαίων συγγραμμάτων ὑπ᾽ αὐτοῦ γεινόμεναι ἐκλογαί, διέσωσαν τοῖς μετ᾽ αὐτὸν οὐκ ὀλίγα ἐξαίρετα μνημεῖα τῆς ἀρχαιότητος. Ἡ ποικιλία τῶν ὑπ᾽ αὐτοῦ ἀναγνωσθέντων συγγραμμάτων ἐστὶ καταπληκτική· πολλῷ δὲ θαυμαστοτέρα ἡ τοῦ κριτικοῦ βαθύνοια, ἐπισταμένου ἀποδιδόναι συγγράμμασι, πάντη διαφόροις τήν τε ὑπόθεσιν καὶ τὴν μορφήν, τὴν προσήκουσαν ἑκάστῳ ἀξίαν. Ὁ Φώτιος ἀνέγνω καὶ ἐξετίμησε τὰ συγγράμματα τῶν ἐθνικῶν ῥητόρων, ἱστορικῶν, ποιητῶν, φιλοσόφων καὶ μαθηματικῶν· ἐπεθεώρησε πολλὰ χριστιανικὰ συγγράμματα (*). Ἀληθές, ὅτι καὶ τὰ συγγράμματα τῶν χριστιανῶν διδασκάλων ἐξετάζει κατ᾽ ἐξοχὴν φιλολογικῶς· ἀλλ᾽ ἐὰν ἀναλογισώμεθα, ὅτι ἡ Βιβλιοθήκη ἐγράφη ὑπὸ τοῦ Φωτίου, κοσμικοῦ ἔτι ὄντος, ἐν ἔτεσι νεότητος καὶ

(¹) Balsamon. Comment. ad secundum can. Trullanum, ap. Reveregium· Nomocan. Photii gr. lat. cum notis ed. Justellius in II. tom. Bibl. Juris Canonici Paris 1662, p. 813-1155.

(*) Ἐκ τῶν 280 ἀναγνωσμάτων 180 ἀνήκουσιν εἰς τὴν ἐκκλησιαστικὴν φιλολογίαν.

λαμπρᾶς κοσμικῆς εὐτυχίας, ἀδύνατον μὴ θαυμάσαι, ὅτι ἐν τῇ κριτικῇ τοιούτου κοσμικοῦ ἀνδρὸς οὐδέποτε παροραται ἡ χριστιανικὴ ἀξία τῶν συγγραμμάτων καὶ ὅτι αἱ περὶ τῶν χριστιανικῶν συγγραμμάτων ἀποφάνσεις εἰσὶ τοσοῦτον πισταὶ τῷ βαθεῖ χριστιανικῷ πνεύματι. Αἱ δὲ κρίσεις αὐτοῦ περὶ τῶν συγγραμμάτων ἀνθρώπων, τῷ ὀνόματι τῶν αἱρετικῶν κεκηλιδωμένων, καὶ ἡ αὐστηρὰ ἐξέλεγξις τῶν αὐθαιρέτων δοξασιῶν Κλήμεντος τοῦ Ἀλεξανδρέως, Πιερίου τοῦ πρεσβυτέρου, διδασκάλου τοῦ διδασκαλείου τῆς Ἀλεξανδρείας καὶ ἄλλων καταδεικνῦσιν, ὅτι ἦν ἐμβριθέστατος θεολόγος (1).

§. 287. Ἰωσὴφ ὁ Ὑμνογράφος.

Ἰωσὴφ ὁ Ὑμνογράφος ἐγεννήθη καὶ ἔλαβε τὴν πρώτην παίδευσιν ἐν Σικελίᾳ (2). Καὶ ἐν τῇ νεότητι διέπρεπεν ἐπὶ αὐστηρᾷ σωφροσύ-

---

(1) Bibliotheca Photii ed Gr. et lat. a Haeschelio, 1613, Genevae. 1653, Rothomagi. Ἥ τε ἔκδοσις καὶ ἡ μετάφρασίς εἰσιν ἀνεξέργαστοι. Ἀρίστη ἁπασῶν τῶν ἐκδόσεών ἐστιν ἡ τοῦ Βεκκέρου ἐν Βερολίνῳ 1824. Ἐν τῇ πρὸς Ταράσιον ἐπιστολῇ, ἥτις ἐστὶ τὸ προοίμιον τῆς Βιβλιοθήκης, γράφει ὁ Φώτιος, ὅτι προτίθεται γράψαι καὶ ἄλλα συγγράμματα, ἐὰν μὴ κωλύσωσιν αὐτὸν αἱ πολλαὶ αὐτοῦ ἀσχολίαι. Πιθανόν, ὅτι ἡ ἀπόφανσις περὶ Ἀθανασίου τοῦ Ἀλεξανδρείας (in Montfaucon. ed. Op S. Athanasii) καὶ αἱ ἐκλογαὶ ἐκ τῆς ἱστορίας Φιλοστοργίου (Exepta Histor. Philostorgii, Genevae) συνιστᾶσι τὸ δεύτερον μέρος τῆς Βιβλιοθήκης αὐτοῦ. Ἡ ἀπόφανσις περὶ τοῦ Ἀθανασίου κατὰ τὰ χειρόγρ. Φωτίου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως πρὸς τὸν ἴδιον ἀδελφὸν Ταράσιον περὶ τῶν λόγων τοῦ ἐν ἁγίοις Μεγάλου Ἀθανασίου Ἀρχιεπισκόπου Ἀλεξανδρείας. Περὶ τοῦ χρόνου βλ. ἀνωτέρω. Ἡ ἐπιθεώρησις τῆς Βιβλιοθήκης μετὰ σημειώσεων in Fabric. B. gr. T. X. p. 686. s. ed Harlesii. Ἐν τοῖς Ἀμφιλοχίοις φησὶν ὁ Φώτιος, ὅτι συνέταξε Λεξικόν, τὴν τῶν μειρακίων ἡλικίαν παραλάσσων. Κατὰ τὸν Μάϊον (Praefat. ad I. tom Collect. Vet. Auctor.), ἡ ἐν Λειψίᾳ τῷ 1804 γενομένη ἔκδοσις τοῦ Λεξικοῦ οὐκ ἔστιν ἐν πολλοῖς ὁμοία τοῖς χειρογράφοις.

(2) Ὁ βίος αὐτοῦ ἐγράφη α΄) ὑπὸ τοῦ διακόνου Ἰωάννου περὶ τὸ 905 (ἐν ἐκτάσει)· β΄) ὑπὸ τοῦ μαθητοῦ αὐτοῦ Θεοφάνους (διὰ βραχέων)· γ΄ ἐν τῷ ἑλλην. Συναξαρ. Αἱ τρεῖς

νῃ. Πορθηθείσης τῆς πατρίδος αὐτοῦ, μετέβη μετὰ τῆς μητρὸς καὶ τῶν ἀδελφῶν αὐτοῦ εἰς Πελοπόννησον, ἐκεῖθεν δ' εἰς Θεσσαλονίκην, ἔνθα πέντε καὶ δέκα ἔτη γεγονώς, ἀποκείρεται ἔν τινι μονῇ. Τροφὴ αὐτοῦ ἐνταῦθα ἦν ξηρὸς ἄρτος, στρωμνὴ ἔδαφος ψιλόν, ἀσχολία ἡ προσευχή, ἡ ἀνάγνωσις καὶ ἡ ἀντιγραφὴ βιβλίων. Τοιοῦτος ὢν καὶ τοσούτοις κατακοσμούμενος χαρίσμασι, προὐχειρίσθη εἰς πρεσβύτερον βίᾳ καὶ ἄκων. Κατὰ παράκλησιν Γρηγορίου τοῦ Δεκαπολίτου, ἀνδρὸς ἐλλογίμου, τῇ Κωνσταντίνου πόλει μετ' αὐτοῦ ἐπιδημεῖ, ἔνθα τῷ τοῦ ἁγίου Ἀντίπα ναῷ ἐγκλείεται, σκληραγωγίαις καὶ ἀσκητικοῖς πόνοις ἐπαγαλλόμενος. Ἐπὶ Λέοντος τοῦ Ἀρμενίου ἐθάρρυνε μετὰ τοῦ Γρηγορίου τοὺς ὀρθοδόξους. Ἀποσταλεὶς δὲ κατὰ κοινὴν τῶν ὀρθοδόξων ἀπόφασιν εἰς Ῥώμην, ἵνα αἰτήσηται παρὰ τοῦ Πάπα συνδρομήν, συνελήφθη ὑπὸ πειρατῶν—μισθίων ὀργάνων τοῦ Αὐτοκράτορος, καὶ ἀπήχθη εἰς Κρήτην, ἔνθα ἐντίθεται εἱρκτῇ. Οἱ μετ' αὐτοῦ ἐν τῷ δεσμωτηρίῳ εὗρον ἐν αὐτῷ διδάσκαλον καὶ παραμυθητήν, αὐτὸς δὲ παρεμυθήθη τέλος ὑπὸ τοῦ ἁγίου Νικολάου, ἐπιστάντος αὐτῷ ἐν μιᾷ τῶν νυκτῶν καὶ ἀναγγείλαντος, ὅτι ἀπώλετο ὁ κατασπαράξας τὰ πρόβατα τοῦ Χριστοῦ Λέων. Ἀπαλλαγεὶς τῆς εἱρκτῆς (τῷ 820) μετὰ τοῦτο, διεσώζετο πρὸς τὴν Κωνσταντινούπολιν, ἔνθα ἤγειρε παρὰ τῷ ναῷ τοῦ Χρυσοστόμου μοναστήριον [1]. Γενόμενος δὲ ἐν τοῖς θεσσαλικοῖς ὁρίοις, καὶ λαβὼν τὰ λείψανα τοῦ Ἀποστόλου Βαρθολομαίου, ἤγειρεν αὐτῷ ναόν. Ἐπόθει μέν, ἀλλ' οὐκ ἐτόλμα, ἀνυμνῆσαι τὸν Ἀπόστ. μελῳδήμασιν· ἐνήστευε καὶ προσηύχετο ἐπὶ πέντε ἑβδομάδας. Τῇ δὲ προτεραίᾳ τῆς μνήμης αὐτοῦ ὁ Ἀπόστολος ἐπιφανεὶς ἐν τῷ ἱερῷ τοῦ ναοῦ, ἐκάλεσε πρὸς ἑαυτὸν τὸν ὅσιον, ἔθηκεν ἐπὶ τοῦ στήθους αὐτοῦ τὸ ἅγιον Εὐαγγέλιον, καὶ εἶπεν: «Εὐλογήσῃ σε ἡ χεὶρ τοῦ Θεοῦ καὶ σοῦ τὴν γλῶσσαν θάλασσαι δογμάτων περικυκλώσωσι, καὶ τῇ καρδίᾳ ἐνιδρυνθείη τὸ Πνεῦμα τὸ ἅγιον, καὶ σοῦ τὴν πᾶσαν οἰκουμένην τὰ μελῳδήματα περιθέλξαιεν, καί τις τούτοις ἐπεντρυφῶν, Σειρῆνας εἴποι τὰς νοητάς, διά τε τὴν

αὗται βιογραφίαι ἐξεδόθησαν in Act. SS. ad 3 April. δ') ὑπὸ Γρηγορίου τοῦ Συγκέλλου, χρον. σ. 525. Pagii Critica Annal. ad an. 817. N. 18.

(1) Βλ. Du-Cangii Constantinop. Christian. p. 126.

χάριν τῶν νοημάτων, καὶ τὴν ὑγραίνουσαν λέξιν, καὶ πανταχόθεν ἀρωματίζουσαν». Ἀπὸ τοῦ χρόνου τούτου ὁ Ὅσιος ἤρξαντο συντιθέναι τοὺς ὕμνους αὐτοῦ. Ἐπὶ τοῦ Θεοφίλου ὑπερωρίσθη εἰς Χερσῶνα, ὅθεν μετακληθεὶς ὑπὸ τῆς Αὐτοκρατείρας Θεοδώρας, κατεστάθη ὑπὸ τοῦ Π. Ἰγνατίου Σκευοφύλαξ τοῦ ναοῦ τῆς ἁγ. Σοφίας. Ὁ δὲ Π. Φώτιος τοσοῦτον ἔσεβεν αὐτόν, ὥστε ἀπεκάλει αὐτὸν Πατέρα Πατέρων, Θεοῦ ἄνθρωπον, καὶ κατέστησε Πνευματικὸν ἅπαντος τοῦ ἐν Κωνσταν]πόλει κλήρου. Ἐν τῷ τελευταίῳ τούτῳ ἀξιώματι προσεφέρετο μετ᾽ ἀγάπης σοφοῦ πατρός. Τῇ δωρεᾷ τῆς διορατικότητος ἑώρα τὰς ἁμαρτίας, ἃς οὐκ ἠβούλοντο ἀποκαλύπτειν αὐτῷ, οὐκ ἤλεγχε δέ, ἀλλ᾽ ἐσπούδαζεν ἄγειν αὐτοὺς τοὺς μετανοοῦντας εἰς εἰλικρινῆ καὶ ἑκούσιον ἐξομολόγησιν, ὅπερ καὶ κατώρθου. Ἐγγὺς ὢν τοῦ θανάτου, ἐποιήσατο τῆς ἐκκλησιαστικῆς περιουσίας ἀπογραφήν, ἣν ἀπέστειλε τῷ Πατριάρχῃ. Τοῦτο ἐγένετο τῇ Μεγάλῃ Παρασκευῇ, τῇ δὲ Τετάρτῃ τῆς Διακαινησίμου (τῷ 883) παρέδωκε τῷ Κυρίῳ τὸ Πνεῦμα αὐτοῦ. Οἱ χοροὶ τῶν οὐρανοπολιτῶν, οὓς ἐδόξασε διὰ τῶν ὕμνων αὐτοῦ, παρηκολούθησαν αὐτῷ κατὰ τὴν ἀπὸ τῆς γῆς εἰς τοὺς οὐρανοὺς ἐκδημίαν, ὥς τισι ἀπεκαλύφθη τοῦτο (¹).

§. 288. Ὑμνῳδίαι αὐτοῦ.

Θεοφάνης, ὁ τοῦ ἁγίου Ἰωσὴφ μαθητής, λέγει, ὅτι ὁ ὅσιος, ὑπὸ τῆς θείας χάριτος ἐλλαμφθείς, οὕτως εὐχερῶς καὶ ταχέως παρεῖχε τοῖς αἰτουμένοις τὰς ἱερὰς μελῳδίας, ὥστε νομίζειν τινὰς μὴ ἐξ ἑαυτοῦ ταύτας γεννᾶν, ἀλλ᾽ ἐκμανθάνειν ἀλλαχοῦ πρότερον καὶ ἀποστομίζειν. Ὁ βιογρ. αὐτοῦ Ἰωάννης μαρτυρεῖ, ὅτι ᾖσεν αἴνους τῷ Ἀποστόλῳ Βαρθολομαίῳ, τῷ ἁγ. Νικολάῳ, τῇ Θεομήτορι καὶ ἄλλοις ἁγίοις: Προφήταις, Ἀποστόλοις, Μάρτυσιν, Ἱεράρχαις. Ὄντως καὶ μέχρι τοῦ δεῦρο ὁρῶμεν ἐν τοῖς ἐκκλησιαστικοῖς βιβλίοις τοσούτους αὐτοῦ κανόνας, ὅσους οὐδενὸς τῶν ἄλλων τῆς Ἐκκλησίας μελοποιῶν (²).

(¹) Ἡ μνήμη αὐτοῦ τῇ γ´ Ἀπριλίου.

(²) Ὁ Γαετάνος (Act. Sanct. ad 3 Apr. p. 268.), ἐπιθεωρήσας τοὺς κανόνας κατὰ τὰ χειρογρ. τῶν βιβλίων τῆς Ἀκολουθίας τῆς Ἐκκλησίας ἡμῶν λέγει, ὅτι οἱ καν. τοῦ ἁγ. Ἰωσὴφ εἰσι πλείους τῶν 300· ἀλλ᾽ ἐν ταῖς ἐκδεδομέναις Ἀκολουθίαις οὐκ εἰσι πλείους τῶν 200. Κανόνες

Καὶ α΄) ἐν τῇ ἑλληνικῇ Παρακλητικῇ ἀναγινώσκονται 48 κανόνες αὐτοῦ, τοῦτ᾽ ἔστιν οἱ περὶ μετανοίας (διὰ Δευτέραν) εἰς τὸν Πρόδρομον (τῇ Τρίτῃ), εἰς τὸν Σταυρὸν καὶ τὴν Θεομήτορα (τῇ Τετάρτῃ), εἰς ἅπαντας τοὺς ἁγίους (τῷ Σαββάτῳ), καὶ εἰς τὸν ἅγιον Νικόλαον (τῇ Πέμπτῃ) ἐν ἅπασι τοῖς ἤχοις· φέρει δὲ καὶ ἡ ἀκροστιχὶς τῆς Θ΄ ᾠδῆς τὸ ὄνομα αὐτοῦ· πέντε μόνον κανόνες οὐ φέρουσι τὸ ὄνομα αὐτοῦ ἐν τῇ ἀκροστιχίδι. Ἀλλὰ πρὸς τῇ μαρτυρίᾳ τῶν χειρογράφων ὁ συγγραφεὺς αὐτῶν γινώσκεται καὶ ἐκ τοῦ μετὰ τῶν ἄλλων κανόνων τοῦ Ἰωσὴφ συνδέσμου αὐτῶν [1]. Ἐν τῇ σλαβονικῇ ὀκτωήχῳ οἱ κανόνες εἰς τὴν Θεοτόκον τῶν α΄, β΄, ς΄, ζ΄ καὶ η΄, ἤχων καὶ ὁ κανὼν εἰς τοὺς ἁγίους πάντας τοῦ α΄ ἤχου εἰσὶ διάφοροι καὶ ἀγνώστων συγγραφέων [2]. Ἡ δὲ σημείωσις τῆς ἑλληνικῆς Παρακλητικῆς, ἡ καὶ εἰς τὴν σλαβονικὴν ὀκτώηχον ὑπάρχουσα

τινὲς αὐτοῦ εἰς τὴν Θεοτόκον ἐξεδόθησαν ὑπὸ Μαρρακίου Gr. lat. Mariale, Romæ, 1661.

(1) Οἱ κανόνες, οἳ οὐ φέρουσι τὸ ὄνομα τοῦ ἁγ. Ἰωσὴφ ἐν τῇ ἀκροστιχίδι εἰσίν: ὁ κανὼν εἰς τὴν Θεοτόκον τῇ Τετάρτῃ τοῦ γ΄ ἤχου, οἱ κανόνες εἰς τὸν ἅγιον Νικόλαον ἐν τῷ β΄ καὶ γ΄ ἤχῳ, εἰς τοὺς ἁγίους πάντας ἐν τῷ α΄ ἤχῳ, καὶ ὁ περὶ μετανοίας κανὼν τοῦ γ΄ ἤχου. Ἀλλὰ α΄) ἅπαντες οἱ 48 κανόνες τῆς Παρακλητικῆς ἐπιγράφονται κεχωρισμένως ἐν τῷ βιεν. χειρογρ. (Cod. Tgeolog. 310), καὶ ἡ τῶν καν. συλλογὴ ἐπιγράφεται καν. Ἰωσὴφ τοῦ Ὑμνογράφου. β΄) ὁ σύνδεσμος τῶν καν. ὁμιλεῖ περὶ ἑνὸς συγγραφέως. π. χ. ἡ ἀκροστιχὶς τῶν εἰς τὴν Θεοτόκον καν. ἐν τῷ γ΄ ἤχῳ — Τρίτον μέλισμα τῇ Θεοτόκῳ φέρω· ὁ κανὼν τοῦ ς΄ ἤχου ἐπιγράφεται τῷ ὀνόματι τοῦ Ἰωσὴφ καὶ μετὰ τῆς ἀκροστιχίδος ἕκτον προσάξω τῇ Θεοτόκῳ μέλος. Ἐν δὲ τῷ η΄ ἤχῳ ὑπάρχει ἡ ἀκροστιχὶς Δέησις ἐστὶν ὀγδόη τῇ Παρθένῳ, Ἰωσήφ. Κατὰ τοῦτο ἐν ταῖς ἀκροστιχίσι τῶν κανόνων εἰς τὸν ἅγ. Νικόλαον καταλέγονται οἱ κανόνες αὐτοῦ. Ἐν τῷ ζ΄ ἤχῳ ἡ ἀκροστιχὶς ἔχει ὧδε: Δέχου δέησιν ἑβδόμην, Νικόλαε. Τοῦ Ἰωσήφ.

(2) Ἐν τῇ χειρογρ. σλαβον. Ὀκτωήχῳ τοῦ ιζ΄ αἰῶνος, τῇ ἀποκειμένῃ ἐν τῇ συνοδ. Βιβλιοθήκῃ (Ν 201) ἀναγινώσκονται ἅπαντες ἐκεῖνοι οἱ κανόνες τοῦ Ἰωσήφ, οἵτινες ὑπάρχουσιν ἐν τῇ ἑλλ. ἐντύπῳ Παρακλ. Ὁ ἐν τῷ β΄ ἤχῳ κανὼν εἰς τὸν ἅγ. Νικόλαον ὁ ἐν τῇ ἐντύπῳ σλαβον. ὀκτωήχῳ εὑρισκόμενος, οὐκ ἔστιν ἐπ᾽ ἴσης ἐκεῖνος ὃς ἀναγινώσκεται ἐν τῇ Παρακλητ. ἀλλ᾽ ἀνήκει ἐπ᾽ ἴσης εἰς τὸν Ἰωσήφ, καὶ φέρει τὴν ἀκροστιχίδα: Δέησιν οἰκτράν, Νικόλαε, προσδέχου. Ἰωσήφ. Ἀναγινώσκεται δὲ ἐν τῷ τῆς Βιένν. ἑλλην. χειρογρ. (cod.

τῆς ὀκτωήχου τῆς νέας θεῖον τέλος, πόνος δὲ Ἰωσήφ, δείκνυσιν, ὅτι ὁ Ἰωσὴφ ἐπέρανε μετὰ τὸν Δαμασκηνὸν καὶ τὸν Θεοφάνη τὴν διάταξιν τῶν τῆς ἑβδομάδος Ἀκολουθιῶν.

β΄.) Ἐν τοῖς ἑλληνικοῖς Μηναίοις ὑπάρχουσιν 104 κανόνες φέροντες τὸ ὄνομα τοῦ Ἰωσὴφ ἐν τῇ θ΄ ᾠδῇ (1). Ἔνιοι τῶν κανόνων τούτων οὐχ ὑπάρχουσιν ἐν τοῖς σλαβονικοῖς Μηναίοις· ἀναγινώσκονται δ' ἐν αὐτοῖς 6, οἳ οὐχ ὑπάρχουσιν ἐν τοῖς ἑλληνικοῖς (2).

γ΄.) Ὁ κανὼν τῆς Θεοτόκου, ὁ ἐν τῷ Ἀκαθίστῳ, φέρει ἐν τῇ ἀκροστιχίδι τῆς θ΄ ᾠδῆς τὸ ὄνομα τοῦ Ἰωσήφ. Ὁ κανὼν οὗτος ἐγράφη εἰς συμπλήρωσιν τοῦ Ἀκαθίστου βεβαίως, ὅτε ἡ Κωνσταντινούπολις κατείχετο ὑπ' ἄκρας χαρᾶς ἐπὶ τῇ ἀπροσδοκήτῳ αὐτῆς ἀπαλλαγῇ ἀπὸ τῶν Ῥώσσων, ὧν ἡγοῦντο ὁ Ἀσκόλδος καὶ ὁ Δίρος(3).

---

324), ἔνθα παραλλήλως ὑπάρχει ὁ κανὼν τοῦ Ἰωσὴφ εἰς τὸν Σταυρὸν τοῦ α΄ ἤχου.

(1) Βλ. τὸ ἑλλην. ἐκδεδομ. Μηναῖον καὶ τὸ ἀρχ. χειρογρ. Μην., τὸ ἐν τῇ Βιβλ. τῆς Βιέννης (Cod. hist. 12.).

(2) Ἐν τοῖς ἐκδεδομ. ἑλλην. Μηναίοις οὐχ ὑπάρχουσιν οἱ σλαβον. κανόνες εἰς τοὺς ἁγίους Εὐτρόπιον (Μαρτ. γ΄), Θεράποντα (Μαΐου κζ΄), Κοσμᾶν καὶ Δαμιανόν, Παλλάδιον (Νοεμβρ. α΄ κζ΄) εἰς τὸν Εὐαγγελιστὴν Λουκᾶν καὶ εἰς τὸν μάρτ. Κάρπον (Ὀκτωβρ. ιγ΄ ιη΄). Οἱ κανόνες, οἳ ἐν τοῖς σλαβ. Μην. οὐ φέρουσι τὸ ὄνομα τοῦ Ἰωσὴφ ἐν τῇ θ΄ ᾠδῇ, εἰσιν οἵδε: α΄) ὁ εἰς τὸν ἅγ. Ἀνύσιμον (Νοεμβρ. γ΄)· β΄) ὁ εἰς τὸν ἅγ. Κλήμεντα (Νοεμβ. κδ΄)· γ΄) ὁ εἰς τὸν ἅγ. Στέφανον (Νοεμβρ. ιη΄)· δ΄) ὁ εἰς τὸν ἅγιον Παγκράτιον (Ἀπριλ. γ΄), καὶ ε΄) ὁ εἰς τὸν ἅγ. Καλλιόπιον (Ἀπριλ. ζ΄). Ἡ ἀκροστιχὶς τοῦ κανόνος εἰς Ἰωάννην τὸν Θεολόγον (Σεπτεμβρ. κς΄) ἕκτην δέησιν τῷ Θεοῦ μύστῃ φέρω Ἰωσὴφ δείκνυσιν, ὅτι ἐγράφησαν ὑπὸ τοῦ Ἰωσὴφ εἰς τιμὴν τοῦ Θεολόγου τοὐλάχιστον ἓξ κανόνες, καὶ πιθανῶς, κατὰ τὸν ἀριθμὸν τῶν ἤχων, ὀκτώ. Ἐν δὲ τοῖς Μηναίοις ὑπάρχει νῦν εἷς μόνον. Ἐν τῷ τοῦ Ἀπριλ. χειρογρ. Μην., τῷ γραφέντι ὑπὸ τοῦ Θεοκτίστου κατὰ τὸν ια΄ αἰῶνα (Vindob. Cod. Histor. 12) ὑπάρχουσιν ἄγνωστοι κατὰ τὸ σλαβον. ἐκδεδομ. Μην. κανόνες τοῦ Ἰωσὴφ οἱ ἑξῆς: α΄) εἰς τοὺς Μ. Ἀμφιανὸν καὶ Αἰδέσιον (Ἀπριλ. β΄). β΄) εἰς τοὺς Μ. Κλαύδιον καὶ ἄλλους (Ἀπριλ. ε΄)· γ΄) εἰς τὸν Μ. Λεωνίδην (Ἀπριλ. ιθ΄)· δ΄) εἰς τὸν Μ. Σάββαν (Ἀπριλ. κδ΄).

(3) Βλ. περὶ τοῦ Φωτίου. Ἐν τῷ

δ΄·) Πονήματα τοῦ ἁγίου Ἰωσὴφ εἰσὶν ἐπ᾽ ἴσης: α΄) τὰ τριῴδια ἀπὸ τοῦ Πάσχα μέχρι τῆς Πεντηκοστῆς· β΄) ἀνὰ ἓν τροπάριον εἰς τὴν Θεοτόκον ἐν τοῖς ὕμνοις τοῦ πασχαλ. κανόνος· γ΄) ὁ κανὼν εἰς τὴν Ἀνάληψιν τοῦ Κυρίου (¹).

Οἱ περὶ μετανοίας κανόνες τοῦ Ἰωσὴφ (κατὰ τὰς Δευτέρας) εἰσὶν ἐξαίρετοι. Ἀποπνέουσι βαθεῖαν κατάνυξιν ἐπὶ ταῖς ἁμαρτίαις καὶ τῇ ἐπὶ τὸν Κύριον Ἰησοῦν ἐλπίδι. Οὐδένα αὐτῶν δύναταί τις ἀναγνῶναι ἄνευ συγκινήσεως. Ἅπαντες καθόλου οἱ ἐν τῇ ὀκτωήχῳ Παρακλητικῇ κανόνες αὐτοῦ δύνανται παρέχειν τῇ ψυχῇ τοῦ ἀναγινώσκοντος αὐτοὺς ἄφθονον τροφήν.

Πάνυ ὀρθὴ ἡ τοῦ ῥήτορος Ἰωάννου ἀπόφανσις περὶ τοῦ ἐν τῷ Ἀκαθίστῳ ὕμνῳ κανόνος τῆς Θεοτόκου: «Τὰ εἰς τὴν Παρθένον καὶ Μητέρα Θεοῦ, καὶ ὑπὲρ Λόγον συλλαβοῦσαν τὸν Λόγον, λιγυρὰ μελῳδήματα ἐπιών, θαλάσσας δακρύων τοὺς ὀφθαλμοὺς πληρωθείς, καὶ τὴν διάνοιαν συντακείς, ἀύλῳ νῷ κατατρυφήσει τῶν νοερῶν ἰύγγων τῆς κατανύξεως».

§. 289. Κύριλλος καὶ Μεθόδιος, οἱ τῶν Σλάβων φωτισταί· ἀγῶνες τοῦ βίου αὐτῶν.

Κύριλλος (ὁ καὶ πρὶν ἢ μονάσῃ, Κωνσταντῖνος ὁ φιλό-

κανόνι δέεται ὁ ὅσιος τῆς Θεομήτορος: «Λιμὴν ἡμῖν γενοῦ θαλοττεύουσι, καὶ ὁρμητήριον ἐν τῷ πελάγει τῶν θλίψεων» (ᾠδ. ς΄). «Σῶσον τοὺς θλίψεσι βυθιζομένους ἡμᾶς καὶ συντήρισον πάσης ἐχθρῶν ἁλώσεως τὴν σὴν πόλιν, Θεοτόκε» (ᾠδ. ζ΄)· «ῥῦσαι ἡμᾶς πειρασμοῦ, βαρβαρικῆς ἁλώσεως, καὶ πάσης ἄλλης πληγῆς» (ᾠδ. θ΄). Οἱ εἱρμοὶ τοῦ κανόνος ἀνήκουσι τῷ κανόνι τοῦ Δαμασκηνοῦ εἰς τὴν Κοίμησιν τῆς ὑπεραγίας Θεοτόκου. Ὁ Ἀκάθιστος, ἀνήκει ἀναμφιβόλως οὐχὶ τῷ Ἰωσήφ, ἀλλὰ μελοποιῷ πολλῷ ἀρχαιοτέρῳ. Ἐν τοῖς ἀρχ. χειρογρ. ὁ κανὼν καὶ ὁ Ἀκάθιστος οὐχ ὑπάρχουσιν ὁμοῦ καὶ φέρουσιν ἰδίας ἐπιγραφάς. π. χ. ἐν τῷ συνοδ. χειρογρ. τοῦ δεκάτου αἰῶνος (Ν. 344) μετὰ τοὺς ψαλμοὺς καὶ τὰς ᾠδὰς τῆς ἁγ. Γρ. ὑπάρχουσι α΄) ἐν τῇ σελ. 173: «Ἡ Ἀκολουθία τοῦ Ἀκαθίστου, κανὼν εἰς τὴν Θεοτόκον, οὗ ἡ ἀκροστιχίς ἐστι: «χαρᾶς δοχεῖον, Σοὶ πρέπει χαίρειν μόνῃ, Ἰωσήφ,»· β΄) ἐν σελ. 177. «Κοντάκια καὶ οἶκοι τῆς ὑπεραγίας Θεοτόκου».

(¹) Ὁ Ἀλλάτιος εἶδεν ἐν τῇ Βαρβερινῇ Βιβλιοθήκῃ Τριῴδια τοῦ Ἰω-

σοφος), καὶ Μεθόδιος, οἱ τῶν Σλάβων φωτισταὶ ἦσαν τὴν πατρίδα Θεσσαλονικεῖς, υἱοὶ τοῦ στρατηλάτου Λέοντος, καὶ αὐτάδελφοι ὁμαίμονες καὶ ὁμότροποι (1).

Ὁ Κύριλλος, νεώτερος τὴν ἡλικίαν, κατὰ δὲ τὴν παιδείαν καὶ τοὺς διὰ τὸν οὐρανὸν ἀγῶνας ἀκμάσας πρὸ τοῦ Μεθοδίου (ἀπὸ τοῦ 842), ἀνετράφη ἐν τῇ τῆς Κωνσταντινουπόλεως αὐλῇ μετὰ τοῦ νεαροῦ βασι-

σὴφ ἀπὸ τοῦ Πάσχα μέχρι τῆς Πεντηκοστῆς (De lib. Eccles. p. 78. καὶ ὁ Μοντφωκόνιος (Palæogr. Gr. p. 386. 405).

(1) Πηγαί: Ἀ. ἑλληνικαί: Βίος τοῦ ἁγίου Κλήμεντος, μαθητοῦ τοῦ Μεθοδίου, ἐκδοθ. ab Ambrosio Pampereo, Vien. 1802. Β' Παννονικαὶ α') βίος τοῦ ἁγίου Μεθοδίου, γραφεὶς ὑφ' ἑνὸς τῶν μαθητῶν αὐτοῦ· β') βίος τοῦ ἁγ. Κυρίλλου, γραφεὶς μικρὸν μετὰ τὴν τελευτὴν αὐτοῦ. Γ' ρωσσο-βουλγαρικαί: α') χρονικὸν τοῦ Νέστορος· β') Ἰωάννης ἔξαρχος τῆς Βουλγαρίας· γ') βίος τοῦ Μεθοδίου, ἐκ τῆς χιλανδ. Βιβλιοθ. τοῦ ιγ' αἰῶνος· δ') βίος τοῦ Μεθοδίου, ἐν Μην. τοῦ ιγ' αἰῶνος· ε') Κύριλλος καὶ Μεθόδιος ὑπὸ Πογοδίνου, ἐν Μόσχᾳ, 1825· ϛ') βιογραφία τοῦ ἁγ. Κυρίλλου καὶ Μεθοδίου (Μαΐου ια') ὑπὸ τοῦ ἁγ. Δημητρίου τοῦ Ροστοβίας· — Δ' Δαλματικαί: α') *Legenda Italica* in Act. SS. Mart. T. II. Antwerpiae, 1668, p. 19-21· β') Διοκλείας ὁ πρεσβύτ. (περὶ τὸ 1161): περὶ τοῦ βασιλείου τῶν Σλάβων (ed in Lucii de regno Dalmatorum, Amstel. 1666, in Schwandtneri Script rer Hungar. T. III. Vind. 1748. p. 479). Ε' Βοημο-Μοραβ. Συναξάρια: α') Vita S. Ludmillæ. β') Vita S. Ludmillæ et S. Wenceslai, auctore Christiano (ἐκλογαί in Act. SS. ad 9 Mart. p. 24. παρὰ Δοβοβρίσκῳ: Κύριλλος καὶ Μεθόδιος 1826)· γ') *Wita S. Cyrilli et Methodii* (in Act. SS. ad 8 Martii, ὀρθότερον παρὰ Δοβροβίσκῳ: Mährische Legende v. Cyrilli Methodius Prag. 1826). Ζ' Ἄγνωστος σύγχρονος Γερμανός: *de conversione Boioariorum et Carantanorum* (ed. in Marquardii Ereheri rerum Bohemiæ. Script. Hannov. 1602. Ἐκλογαὶ παρὰ Δοβροβίσκῳ Βλ. ρωμ. ἐπιστολ. τῶν Π. Ἀδριανοῦ καὶ Ἰωάννου τοῦ Η. Βιβλ. Ἀναστασίου). Αἱ κρίσεις τοῦ Δοβροβίσκου περὶ τοῦ βίου τοῦ Κλήμεντος, περὶ τοῦ Νέστορος καὶ τοῦ μοραβ. συναξαρ. (παρὰ Πογοδίνῳ σελ. 4. 18. 29) ἦσαν ἂν ἀναμφιβόλως ἐν πολλοῖς πάντῃ ἀλλοῖαι, εἰ ἐγίνωσκε τὰς παννονικὰς βιογραφίας.

λέως Μιχαήλ. Ὑπὸ τοῦ περικλεοῦς Φωτίου ἐδιδάχθη τὰ γράμματα καὶ τὴν λογικήν, εἶτα δὲ διήκουσε τάς τε φιλοσοφικὰς καὶ μαθηματικὰς ἐπιστήμας. Τὰ ἔξοχα πνευματικὰ χαρίσματα, ἡ ἐκπαίδευσις καὶ ἡ τῆς αὐλῆς προστασία ἔτεμνον τῷ Κυρίλλῳ τὴν πρὸς τὰς κοσμικὰς ἀρχὰς ὁδόν· ἀλλ' ὁ θεῖος ἀνὴρ ἠσπάσατο τὴν πνευματικὴν κλῆσιν καὶ ἐγένετο Βιβλιοφύλαξ, εἶτα δὲ ἀπεχώρησεν εἰς τὴν ἔρημον, ὅθεν ἐπανῆλθεν εἰς τὴν πρωτεύουσαν, κατ' ἐπίμονον παράκλησιν τῶν φίλων αὐτοῦ, ἀναδεξόμενος τὸ ὑπούργημα τοῦ διδασκάλου τῆς φιλοσοφίας (1). Ὁ δὲ Μεθόδιος μετὰ τὴν κατ' οἶκον ἐκπαίδευσιν ἠσπάσατο τὴν στρατιωτικὴν ὑπηρεσίαν, καὶ ἐπί τινα ἔτη κατεῖχε τὰς ἡνίας τῆς σλαβικῆς ἡγεμονίας, ἤ, ὅπερ ταὐτό, ἦν διοικητὴς μιᾶς τῶν ὑπὸ τὴν ἑλληνικὴν αὐτοκρατορίαν σλαβικῶν ἐπαρχιῶν (2).

Τῷ 851ῳ ἔτει ἀπεστάλη ὁ Κύριλλος πρὸς τὸν Ἐμίρην τῆς Μελιτινῆς, ἔνθα πάνυ ἐπιτυχῶς ἐπετέλεσε τὸ ἐντεταλμένον. Μετὰ τὴν ἐπάνοδον αὐτοῦ ἀπεχώρησεν εἰς Ὄλυμπον, ὅπου μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ, καταλιπόντος ἐπ' ἴσης τὸν κόσμον, διήρχετο τὸν χρόνον ἐν νηστείᾳ καὶ προσευχαῖς. Τῷ 858ῳ ἔτει πρεσβευταὶ τοῦ Χάνου τῶν Χαζάρων παρεκάλεσαν τὸν Αὐτοκράτορα ἐξαποστεῖλαι αὐτοῖς ἄνδρα πεπαιδευμένον, δυνάμενον διδάξαι αὐτοὺς τὴν ἀληθινὴν πίστιν, τῶν Ἰουδαίων καὶ τῶν Σαρακηνῶν, βουλομένων, ὡς προσετίθεσαν, ἐπιστρέψαι αὐτοὺς εἰς τὴν ἑαυτῶν πίστιν. Ἐκ τούτου ἀπεστάλη ὁ τοῦ Φωτίου φίλος φιλόσοφος Κύριλλος μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ Μεθοδίου πρὸς τὸν Χάνην. Ὁ ἱερὸς ἀνὴρ κατώρθωσε, τοὐλάχιστον, ἵνα ἐπιτραπῇ τοῖς Χαζάροις ἀσπάζεσθαι ἀκωλύτως τὴν χριστιανικὴν πίστιν, ἀπαγορευθῇ δὲ τοῖς Ἕλλησιν, ἐπὶ ποινῇ θανάτου, δέχεσθαι τὸν ἰουδαϊσμόν. Σύναμα δὲ ἀπεκάλυψε τοῖς Χαζάροις τὴν ματαιοφροσύνην τῶν ἀράβων καὶ ἰουδαίων διδασκάλων (3).

---

(1) Παννον. βιογραφ. τοῦ ἁγ. Κυρίλλου. Ἀναστάσιος ὁ Βιβλιοθηκάριος ἀποκαλεῖ τὸν Κύριλλον φιλόσοφον, ἄνδρα ἐξόχου ἁγιότητος, εἰλικρινέστατον φίλον τοῦ Φωτίου (ad Carolum Calvum regem de Areopagiticis et Johanne Scoto eorum interprete).

(2) Κατὰ τὴν παννον. βιογραφίαν ὁ ἁγ. Μεθόδιος ἦν διοικητὴς τῶν Σλάβων ἐπὶ 10 ἔτη.

(3) Β. περὶ τοῦ ἁγ. Κλήμεντος.

Ἀμ' ἐπανελθόντων ἐκ Χαζαρίας τῶν ἁγίων ἀδελφῶν (1), οἱ Σλαβο-Παννόνιοι ἡγεμόνες, Ρατισλάβος, Σουατοπόλκος καὶ Κοτῆλος, «οὐκ ἔχοντες ἀληθῆ διδάσκαλον διὰ τὸν λαὸν αὐτῶν» (εἰ καὶ ὑπῆρχον παρ' αὐτοῖς λατῖνοι ἱερεῖς) (2), καὶ πολλῷ πλέον καθορῶντες τὴν ἀνάγκην τοῦ ἀκροᾶσθαι ἐν τῇ μητρικῇ γλώσσῃ τὴν θείαν λειτουργίαν καὶ τὴν περὶ πίστεως διδασκαλίαν (3), παρεκάλεσαν περὶ τὸ τέλος τοῦ 863 τὸν Αὐτοκράτορα Μιχαὴλ καὶ τὸν Π. Φώτιον ἐξαποστεῖλαι αὐτοῖς τοὺς ἀναγκαίους αὐτοῖς διδασκάλους (4). Τίνας δ' ὤφειλον πρὸς τοῦτο ἐκλέξασθαι, εἰμὴ τοὺς εὐσεβεῖς καὶ πεπαιδευμένους Θεσσαλονικεῖς; Ὁ ἅγιος Κύριλλος, κατανοῶν τό τε σπου-

(1) Διατρίβων ἐν Χερσῶνι ὁ Κύριλλος, προὔτρεψε τὸν ἀρχιεπίσκοπον αὐτῆς ἀναζητῆσαι τὰ λείψανα τοῦ Ρώμης ἁγ. Κλήμεντος. Ἐν τῇ διηγήσει αὐτόπτου τῆς εὑρέσεως τῶν λειψάνων (χειρόγρ. Μην. Ἰαν. ἐν τῇ Βιβλ. τῆς ἐκκλ. Ἀκαδημ. τῆς Μόσχας) εἴρηται, ὅτι ἡ εὕρεσις αὕτη συνέβη τῇ Α' Ἰαν. ωξα'. Κατὰ τὴν παννον. βιογρ. τοῦ Κυρίλλου, ὁ θεῖος ἀνὴρ ἐπὶ πολὺ διέτριψεν ἐν Χερσῶνι καὶ ἐδιδάχθη ἐνταῦθα τὴν ἑβρ. καὶ σαμαρ. γλῶσσαν. Κατὰ τὸ Συναξαρ. τῶν Ἰταλ. χρονικῶν, διέτριψεν ἐκεῖ μόνον ἐπί τινα χρόνον πρὸς ἐκμάθησιν τῆς γλώσσης τοῦ λαοῦ ἐκείνου (τῶν Χαζάρων).

(2) Βλ. ἱστ. τῆς πρώτης παρὰ Σλάβ. Ἐκκλησίας, σύγγραμμα τοῦ Ματζέβσκιν, σελ. 37. Δοβροβ. σελ. 15, 16.

(3) Ἐν τῷ Συναξ. τῶν ἰταλ. χρονικ. λέγουσιν οἱ ἀπεσταλμένοι: «οὐκ ἔχουσιν ἀληθῆ διδάσκαλον, δυνάμενον διδάξαι αὐτοὺς ἀναγινώσκειν καὶ τὸν τέλειον νόμον». Ἐν τῷ μοραβικῷ: Rogans (Ratislav) quatenus genti suæ rerum doctorem dirigat». Οἷοι ἦσαν οἱ λατῖνοι χριστιανοί, γνωστόν.

(4) Πάννον. βιογρ. τοῦ Κυρίλλου: «Ὁ Ρατισλάβος, ὁ ἡγεμὼν τῆς Μοραβίας, ἐποιήσατο συμβούλιον μετὰ τῶν ἡγεμόνων αὐτοῦ καὶ τῶν Μοραβῶν . . . .». Ἐντεῦθεν δῆλον, ὅτι, εἰ τὸ Συναξ. τῶν Ἰταλ. χρον. λέγει μόνον περὶ τοῦ Ρατισλάβου, μὴ μνημονεῦον τοῦ Κοτήλου καὶ τοῦ Σουατοπόλκου, τοῦτο ἐκ τοῦ ὅτι ὁ Ρατισλάβος ἦν ἡ ψυχὴ τῆς ἐπιχειρήσεως διά τε τὸν ζῆλον αὐτοῦ καὶ τὴν πολιτικὴν αὐτοῦ σημασίαν. Ὁ Κοτῆλος, ἡγεμὼν τῆς Σλαβικῆς Παννονίας (Σλαβονίας, Χορβατίας, Στιρίας), ἐξηρτᾶτο ἐκ τῆς εὐνοίας τοῦ Ρατισλάβου. Ὁ Σουατοπόλκος, κατ' ἐκεῖνον τὸν χρόνον ἡγεμὼν κληροῦχος ἐν Μοραβίᾳ, ἦν ἀδελφιδοῦς τοῦ Ρατισλάβου, ὅς, κατὰ τὸν Χριστάνον, ἦν institutor et rector totius Cristianitatis.

δαῖον τῆς μεθερμηνεύσεως τῶν ἱερῶν βιβλίων εἰς τὴν σλαβικὴν γλῶσσαν καὶ τὸ δυσχερὲς τοῦ ἔργου, ἐποιήσατο τὸ πρῶτον αὐτῆς δοκίμιον τὴν θείαν ἀντίληψιν ἐπικαλεσάμενος καὶ δεόντως πρὸς τοῦτο ἑαυτὸν προπαρασκευάσας. Ὁ Αὐτοκράτωρ καὶ ὁ Πατριάρχης, πλήρης γενόμενοι χαρᾶς ἐπὶ τῇ εὐτολμίᾳ τῶν εὐσεβῶν ἀδελφῶν καὶ τῇ προθυμίᾳ, μεθ' ἧς ἐδέξαντο τὴν γενομένην αὐτοῖς πρότασιν, ἐξαπέστειλαν αὐτοὺς εἰς Μοραβίαν (¹). Κατὰ τὴν εἰς Μοραβίαν ὁδὸν κατώρθωσεν ὁ Μεθόδιος πεῖσαι οὐ μόνον τὸν τῶν Βουλγάρων ἄρχοντα Βορίσην ἀλλὰ καὶ τὸ ἔθνος αὐτοῦ δέξασθαι τὸ ἅγιον βάπτισμα,

---

(¹) Παννον. βιογρ. τοῦ Κυρίλλου. Συναξ. ἰταλ. χρον. Ὁ Νέστωρ λέγει, οὐχ ὡς ἱστορικὸς γράφων, ὅτι διέταξεν ὁ βασιλεὺς γράψαι πρὸς τὸν ἐν Θεσσαλονίκῃ πατέρα τοῦ Κυρίλλου καὶ τοῦ Μεθοδίου, ἵνα πέμψῃ αὐτοὺς εἰς Κωνσταντινούπολιν. Ἠπάτησεν αὐτὸν ἡ λέξις: μετεπέμψατο. Καὶ ὁ Δοβρόβισκος ἐρωτᾷ: πόθεν μετεπέμψατο; ποῦ ἦσαν οἱ ἀδελφοί; Κατὰ τὰς παννον. βιογρ. ὁ μὲν πατὴρ ἐτελεύτησεν ἐκ πολλοῦ, οἱ δὲ ἀδελφοὶ διέτριβον τότε, ὁ μὲν Κύριλλος—ἐν τῇ Ἐκκλησίᾳ τῶν ἁγίων Ἀποστόλων, ὁ δὲ Μεθόδιος ἦν ἡγούμενος τῆς παρὰ τὴν πόλιν Κύζικον Μονῆς τοῦ Πολυχρονίου. Ἐν τῇ ὑπὸ τοῦ ἁγ. Δημητρίου τοῦ Ροστοβίας γραφ. βιογρ. εἴρηται, ὅτι ὁ Κύριλλος προεχειρίσθη ἐν Κωνσταντινουπόλει ἐπίσκοπος. Ἀλλ' οὔτε ἡ παννον. βιογρ. οὔτε ὁ βιογράφος τοῦ Κλήμεντος, οὔτε τὸ Συναξαρ. τῶν ἰταλ. χρον. ποιοῦνται περὶ τούτου λόγον. Μόνον τὸ μοραβ. Συναξάρ. ὑπαινίσσεται τὸ ἐπισκοπ. ἀξίωμα τοῦ Κυρίλλου, λέγον, ὅτι «ὁ Κύριλλος ἐν Ρώμῃ episcopatui renuncians habitum induit monachorum». Ἐν τοῖς Εὐαγγελ. τοῦ Ὀστρομίροβ καὶ Ἀσσεμάνου τοῦ ια' αἰῶνος εἴρηται: Τοῦ ἁγίου Πατρὸς ἡμῶν Κυρίλλου τοῦ φιλοσόφου. Ἐν Μην. τοῦ ιγ' αἰῶν. ἐν αὐτῇ τῇ ἀναγν. εὕρηται: Μεθόδιε, Ἀρχιεπίσκοπε τῆς ἄνω Μοραβίας, ἀδελφὲ τοῦ ὁσίου Κυρίλλου τοῦ φιλοσόφου. Ἐν Μην. δὲ τοῦ ιδ' αἰῶνος εὗρον καὶ τὸν τόπον τοῦ θρόνου αὐτοῦ· ὁ Σεβίρεφ γράφει, ὅτι αἱ πρῶται λέξεις, αἱ εἰς τὴν σλαβ. γλῶσσαν μεταφρασθεῖσαι ἦσαν μόνον αἱ τοῦ Θεολόγου: Ἐν ἀρχῇ ἦν ὁ Λόγος καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος. Ἡ γνώμη αὕτη κατεκρίθη πικρῶς. Ἀλλὰ α') ὁ Σεβίρεφ ἐπανέλαβε τὰς λέξεις τοῦ Παννονίου βιογράφου τοῦ Κυρίλλου· β') ὡς γνωστόν, ἡ μετάφρασις ἤρξατο ἀπὸ τῆς Ἐκλογῆς τῶν εὐαγγελικῶν ἀναγνωσμάτων, καὶ ἐντεῦθεν ἤρξαντο ἀπὸ τοῦ: Ἐν ἀρχῇ ἦν ὁ Λόγος.

καὶ ἄρξασθαι, ὡς λέγει ὁ βιογράφος τοῦ Κλήμεντος, χριστιανίζειν(¹). Ἐν Μοραβίᾳ ὁ Κύριλλος καὶ ὁ Μεθόδιος ἐπετέλεσαν μετ᾽ ἀποστολικοῦ ὄντως ζήλου τὸ πρὸς ὃ ἐκλήθησαν ἔργον, ἐδίδασκον τὰ παιδία, διέτασσον τὰς ἱερὰς ἀκολουθίας σλαβιστί. Ἀπέκειτο δ᾽ αὐτοῖς ἀγωνίζεσθαι πρός τε τὰ λείψανα τῆς εἰδωλολατρείας

(¹) Ὁ βιογ. τοῦ Κλήμ., τὸ περὶ τῆς Λουδμίλλης Συναξάριον, καὶ τὸ μοραβ. Συναξαρ. ἀποδιδοῦσι τὴν εἰς τὴν χριστιαν. πίστιν ἐπιστροφὴν τοῦ Βορίσου τῷ ἁγ. Μεθοδίῳ, ἀδελφῷ τοῦ ἁγ. Κυρίλλου. Ὁ αὐτοκρ. Κωνσταντῖνος καὶ ὁ Κεδρηνὸς ἀποδιδοῦσιν αὐτὴν τῷ ἕλληνι μοναχῷ Μεθοδίῳ, καί, οὐκ ὀνομάζοντες αὐτὸν ἀδελφὸν τοῦ Κυρίλλου, προσεγγίζουσι τὸ ἔργον τοῦ Μεθοδίου ἐν Βουλγαρίᾳ τῷ ωξα´ ἔτει. Ἐκ τῶν λόγων τῶν ἑλλήνων συγγραφ. πρόδηλον καὶ τὸ ὅτι ὁ Μεθόδιος, ὁ ἐπιστρέψας εἰς τὴν χριστιαν. πίστιν τὸν Βορίσην οὐκ ἐπὶ πολὺ διέτριψεν ἐν Βουλγαρίᾳ καὶ ὅτι ἀντ᾽ αὐτοῦ ἀπεστάλησαν ἐκεῖσε ἄλλοι. Ἀλλὰ καὶ τὸ ἔργον τῶν μοραβῶν ἱεροκηρύκων ἀπῄτει παρ᾽ αὐτῶν τὴν εἰς Μοραβίαν ταχεῖαν ἄφιξιν. Ὁ Νέστωρ λέγει «Μοραβιστὶ μετεφράσθησαν τὸ πρῶτον τὰ βιβλία, ἅτινα ὑπάρχουσι καὶ ἐν Ρωσσίᾳ καὶ ἐν τοῖς Βουλγάροις τοῦ Δουνάβεως». Τοῦτο εἶχεν οὕτως. Ἡ μετάφρασις ὡρίσθη καὶ ἐτελέσθη διὰ τοὺς Μοραβούς. Ὁ Σεβίρεφ γράφει: «Ἡ εἴδησις περὶ τοῦ ὅτι οἱ Βούλγαροι ἐχρῶντο τῇ σλαβ. λειτουργίᾳ πρὸ τῶν Μοραβῶν, ἀνήκει τῷ ἕλληνι βιογρ. τοῦ Ἀρχιεπ. τῆς Βουλγαρίας Κλήμεντος». Ἡ εἴδησις αὕτη οὐκ ἀνήκει εἰς τοῦτον. Ἐνταῦθα εἴρηται μόνον: «Τὸν τῶν Βουλγάρων ἄρχοντα Βορίσην, ὡς ἐπὶ τοῦ τῶν Ρωμαίων Βασιλέως Μιχαὴλ ἦν: . . . καὶ πάλαι μὲν τέκνον ἐποιήσατο, καὶ τῆς οἰκείας γλώσσης τῆς πάντα καλῆς ἐξηρτήσατο, καὶ τότε δὲ ταῖς τῶν λόγων εὐεργεσίαις, ἀδιαλείπτως εἶχε δωρούμενος». Περὶ δὲ τῆς εἰς τὴν σλαβ. γλῶσσαν μεταφράσ. τῆς ἁγ. Γρ. λέγεται, ὅτι αὕτη ἐγένετο, ὅτε ὁ βουλγαρ. λαὸς ἐπεστράφη εἰς τὴν χριστιαν. πίστιν. Τοῦτο δὲ ἐγένετο, κατὰ τὸν βιογρ., τῷ 865. Ἐν χειρογρ. Μην. τοῦ ιγ´ αἰῶνος, εὑρισκομένῳ ἐν τῇ Βιβλ. τῆς παρὰ τὴν Μόσχαν Λαύρας τοῦ ἁγ. Σεργίου ἀναγινώσκομεν: «Ἐγώ εἰμι ἐκ τοῦ νεοφωτίστου τῶν Βουλγάρων ἔθνους, ὅπερ ἐφώτισεν ὁ Θεὸς διὰ τοῦ ἁγίου βαπτίσματος κατὰ ταῦτα τὰ ἔτη τῷ ἐκλεκτῷ αὐτοῦ Βορίσῃ, κληθέντι ἐν τῷ ἁγίῳ βαπτίσματι Μιχαήλ, ὃς τῇ δυνάμει τοῦ Χριστοῦ καὶ τῷ σημείῳ τοῦ Σταυροῦ, νικήσας τὸν βουλγαρικὸν λαόν, κατέστησε τὸν ἅγιον Ἰωσὴφ ἀρχιεπίσκοπον, ... ᾠκοδόμησε ναοὺς καὶ μοναστήρια, καὶ ὥρισεν ἐπισκόπους, ἱερεῖς, ἡγουμένους, ἵνα διδάσκωσι.....».

καὶ πρὸς τὴν ἀμάθειαν τοῦ λατινικοῦ χριστιανισμοῦ (1). Φλεγόμενοι ὑπὸ τοῦ ὑπὲρ τῆς ἁγίας πίστεως ἐνθέου ζήλου μετέβαινον πανταχόσε κηρύττοντες τὴν ἀλήθειαν ἐν γλώσσῃ ἅπασι καταληπτῇ. Τέσσαρα ἔτη καὶ ἓξ μῆνας ἐπετέλουν τὴν ἀποστολικὴν διάταξιν τοῦ Πατριάρχου τῆς Ἀνατολῆς πρὸς δόξαν τοῦ ὀνόματος τοῦ Χριστοῦ (2). «Καὶ ἔχαιρον οἱ Σλάβοι ἀκούοντες τὰ μεγαλεῖα τοῦ Θεοῦ ἐν τῇ γλώσσῃ αὐτῶν» (3). Ἀλλ' οὐχ ἔχαιρον ἐπὶ τούτῳ καὶ οἱ τῆς Ρώμης μαθηταί, οἱ γερμανοὶ ἐπίσκοποι. Οὗτοι περιέρραινον ψόγους τοὺς Σλάβους διδασκάλους ἕνεκα τῆς σλαβικῆς λειτουργίας καὶ τῆς οὐδαμῶς συμφωνούσης τῇ ἀμαθείᾳ αὐτῶν διδασκαλίας. Τῷ Πάπᾳ, οἷος ὁ Νικόλαος, οὐκ ἦν δυνατὸν ἀρέσκειν τὸ ὅτι οἱ ἀπόστολοι τῆς καθαρᾶς πίστεως, ὑποτάσσοντες τὰς καρδίας τῷ Χριστῷ, οὐκ ἔχουσιν ὑπ' ὄψει τὸν Πάπαν. Ὁ πρὸς τοὺς Γερμανοὺς (4) ἀτυχὴς τοῦ Ρατισλάβου πό-

(1) Συναξ. τῶν ἰταλ. χρον. «Coeperunt itaque ad id, quod venerunt peragendum studiose instituere, et parvulos eorum litteras edocere, officia ecclesiastica instruere, et ad correptionem diversorum errorum, quos in populo illo repererant, falcem eloquiorum suorum inducere». Τὸ αὐτὸ λέγει ὁ Παννονὸς βιογράφος τοῦ Κυρίλλου. Ἐνταῦθα εἴρηται, ὅτι οἱ λατῖνοι διδάσκαλοι ἐδίδασκον τὸν λαόν, ὅτι πάντα τὰ ἔργα εἰσὶν ἔργον τοῦ διαβόλου, οὐκ ἐκώλυον τὴν πολυγαμίαν, καὶ τὰς ἐθνικὰς θυσίας. Αὐτὸς ὁ ἡγεμὼν Κοτῆλος ἦν ἔτι ἀκάθαρτος εἰδωλολάτρης. Κατὰ τὸν παννονὸν βιογράφον τοῦ Μεθοδίου, ὁ Μεθόδιος καὶ μετὰ τὴν τελευτὴν τοῦ ἀδελφοῦ ὤφειλεν ἀγωνίζεσθαι πρὸς τὸν ἡγεμόνα τῆς Ναδβισλαβίας, ἰσχυρογνωμόνως ἐμμένοντα τῇ εἰδωλολατρείᾳ, καὶ ὁ Σουατοπόλκος ἐμάχετο πρὸς τοὺς ἐθνικούς. Ὁ ἅγ. Κύριλλος ἐβάπτισε, κατὰ τὸ μοραβ. Συναξάριον τὸν ἡγεμόνα τῆς Μοραβίας.

(2) Ἐν τῇ Παννον. βιογρ. τοῦ Κυρίλλου εἴρηται, ὅτι ὁ Κοτῆλος ἤρξατο διδάσκεσθαι τὰ σλαβ. γράμματα, καὶ ὅτι ἔδωκε τῷ Κυρίλλῳ 50 μαθητάς. Τὸ Συναξ· τῶν ἰταλ. χρον. «Manserunt ergo in Moravia per annos quatuor et dimidium». Κατὰ τὴν παννον. βιογρ τοῦ Κυρίλλου οἱ κήρυκες τοῦ θείου λόγου διέτριψαν κυρίως ἐν Μοραβίᾳ 40 μῆνας, ἤ, ὡς εἴρηται ἐν τῇ βιογρ τοῦ Μεθοδίου, τρία ἔτη· ἔπειτα δὲ μετέβησαν εἰς Παννονίαν πρὸς τὸν ἡγεμόνα Κοτῆλον.

(3) Νέστ. χρον. 17.

(4) Ἱστορ. τῶν πρώτων Ἐκκλησ. παρὰ τοῖς Σλάβοις, σελ. 48.

λεμος καὶ ἡ τοῦ Φωτίου καθαίρεσις παρέσχον τῷ Νικολάῳ τὴν πρὸ πολλοῦ ποθουμένην εὐκαιρίαν τοῦ μεταπέμψασθαι εἰς Ῥώμην τοὺς Ἕλληνας διδασκάλους. Κατὰ τὴν ὁδόν, ἐν Βενετίᾳ, ἀπελογήσαντο ὡς ἄριστα οἱ θεῖοι ἄνδρες πρὸς τὰ κατηγορημένα ([1]). Οὐ μὴν ἀλλ' ὁ Π. Ἀδριανὸς (ἀπὸ τῆς δ' Δεκ. ωξζ' ἔτ.), ὁ τοῦ Νικολάου διάδοχος (†λα' Νοεμϐ. ωξζ'.) φοβούμενος μὴ ἀπολέσῃ ἅπασαν τὴν ἐπὶ τῆς Μοραβίας καὶ Παννονίας ἐπιρροήν, ὡς αὕτη ἀπωλέσθη καὶ πρότερον([2]),

---

([1]) Τὸ Συναξάρ. περὶ τῆς Λουδμίλλης, μοραϐ. Συναξ. περὶ τοῦ ἁγ. Κυρίλλου, ὁ Δοϐρόϐισκος, καὶ μετ' αὐτὸν ὁ Νέανδρος καὶ ὁ Γηζέλερος, λέγουσιν, ὅτι τὰ Συναξάρ. μετήνεγκον τὸ ἐπὶ τοῦ Π. Ἰωάννου περιστατικὸν ἐπὶ τῶν χρόνων τοῦ Νικολάου. Ἀλλὰ α') τοιαύτη γνώμη ἔχρῃζεν ἐπιϐεϐαιώσεώς τινος· ϐ) ὁ Π. Ἰωάννης ἔγραψε πρὸς τὸν Μοραϐὸν Τουϐένταρον (Ζουπανόν): «Audivimus Methodius vester Archiepiscopus, ab antecessore nostro, Hdriano scilicet Papa, ordinatus vobisque dilectus, aliter doceat, quam eorum sede apostolica se credere verbis et litteris professus est». Παρὰ Δοϐροϐίσκῳ σελ. 70. Παρὰ δὲ τῷ Ἀδριανῷ ὁ Μεθόδιος ἦν μετὰ τοῦ Κυρίλλου· γ') κατὰ τὴν παννον. βιογρ. τοῦ Κυρίλλου «Ὁ Ῥώμης Πάπας μετεπέμψατο αὐτόν». Ἀληθές, ὅτι οὐ λέγουσιν, ὡς λέγει τὸ μοραϐ. Συναξάρ., ὅτι «οἱ Ἀπόστολοι καὶ οἱ λοιποὶ κυϐερνῆται τῆς Ἐκκλησίας κατέκριναν τὸν ἅγ. Κύριλλον». Ἀλλὰ καὶ ἐν τῷ παννον. βιογραφίᾳ τοῦ Μεθοδίου λέγεται, ὅτι οἱ κήρυκες τοῦ θείου λόγου συνεζήτησαν ἐν Ῥώμῃ πρὸς ὑπεράσπισιν τῆς σλαϐ. λειτουρ. Ὁ δὲ Ἀδριανὸς γράφει ἐν ἐπιστολῇ περὶ τῶν ψεγόντων τὴν σλαϐ. λειτουργ. δ') ἡ ὁμολογία τοῦ ἁγ. Κλήμεντος δείκνυσι σαφῶς διὰ τοῦ αὐτῇ περιεχομένου, ὅτι αὕτη ἐγένετο ἕνεκα κατηγοριῶν τινων, παρὰ τῷ γερμαν. κλήρῳ· μία δὲ κατηγορία ἦν ἡ κατὰ τῆς σλαϐ. λειτουργίας καὶ κατὰ τῆς ὁμολογίας τοῦ ἁγίου Πνεύματος (βλέπ. ἀνωτέρω)· ε') καὶ αὐτὸ τὸ ἰταλ. Συναξάρ., ὅπερ ὁ Δοϐρόϐισκος ἐθεώρει ὡς τὴν μόνην πηγὴν διὰ τὸ πρῶτον μέρος τοῦ μοραϐ. Συναξαρ. (βλέπ. ἀνωτ.), λέγει περὶ τοῦ Νικολάου: «Mandavit et invitavit ad se venire». Ἠδύνατο δὲ τοιοῦτος Πάπας, οἷος ὁ Νικόλαος, προσενεχθῆναι ἄλλως, ἢ ὡς λέγουσι τὰ Συναξάρια; ϛ') περὶ τῆς ἐγκρίσεως τῆς σλαϐ. λειτουργίας ὑπὸ τοῦ Π. Ἀδριανοῦ ὁμιλεῖ καὶ ὁ Νέστωρ κατὰ τὰ ἀπόγραφα τῆς Λαύρας καὶ τῆς Κενιγσϐέργης.

([2]) Περὶ τῆς πάλης τοῦ Πάπα καὶ τοῦ κλήρου αὐτοῦ πρὸς τὸν Γερμα-

σύναμα δὲ ἐλπίζων ποιήσεσθαι ὑφ' ἑαυτῷ τὴν Βουλγαρίαν, διετέθη εὐνοϊκῶς πρὸς τοὺς πεπαιδευμένους ἀδελφούς. Οὐκ ὀλίγον δὲ συνετέλεσεν εἰς τοῦτο οὐ μόνον τὸ ὅτι οἱ ἐν Κ]πόλει ἐφαίνοντο χαριζόμενοι τῇ φιλαρχίᾳ αὐτοῦ, ἀλλὰ καὶ τὸ ὅτι οἱ εὐσεβεῖς ἀδελφοί, παραστάντες αὐτῷ, προσήνεγκον αὐτῷ δῶρον ὡς σημεῖον δῆθεν ὑποταγῆς τὰ λείψανα τοῦ ἁγ. Κλήμεντος. Ὁ Ἀδριανὸς ἡγήσατο ἀναγκαῖον ἐγκρῖναι τὴν σλαβικὴν λειτουργίαν καὶ δὴ καὶ δι' ἰδίας ἐπιστολῆς ([1]).

Ὁ ἅγιος Κύριλλος ἐτελεύτησεν ἐν Ῥώμῃ, τὸ μέγα σχῆμα ἐπαμφιεσάμενος ([2]). Ἐκπληρῶν τὴν διαθήκην τοῦ ἀδελφοῦ ὁ Μεθόδιος ἐπανῆλθε πρὸς τοὺς Σλάβους. Ἀλλ' οἱ Γερμανοὶ κατετάρασσον αὐτοὺς δι' ἐμφυλίων πολέμων, καὶ κατέστρεψαν τὸν Ρατισλάβον. Ὁ Μεθόδιος, ἀφιστάμενος τῶν πολιτικῶν θυελλῶν († 870), ἀφίκετο μετὰ τῶν μαθητῶν αὐτοῦ εἰς Παννονίαν, ἧς ὁ ἡγεμὼν ὑπεδέξατο αὐτὸν πάνυ φιλοφρόνως ἐν Μοσβούργῳ. Ὁ Κοτῆλος παρεκάλεσε τὸν Πάπαν προχειρίσασθαι εἰς ἀρχιεπίσκοπον τὸν Μεθόδιον, καὶ ὁ πόθος αὐτοῦ ἐξεπληρώθη. Ἀλλ' ὁ γερμανικὸς κλῆρος (τῷ 872) πολλῷ πλέον ἐταράχθη ἐκ τούτου· ἤρξατο καταδιώκειν ἀπανθρωπότατα τὸν ἱερὸν ἄνδρα· διήγειρε κατ' αὐτοῦ τὸν Αὐτοκράτορα τῆς Γερμανίας καὶ τὸν ἡγεμόνα τῆς Μοραβίας Σουατοπόλκον, ἤγαγον ἐνώπιον τοῦ ἐκκλησιαστικοῦ αὐτῶν δικαστηρίου, ἔνθα κατεδίκασαν αὐτὸν εἰς ὑπερορίαν, ἐν ᾗ διέτριψε δύο ἔτη καὶ ἓξ μῆνας. Ἀλλ' ὁ Πάπας Ἰωάννης ὁ Η΄ ἀπέδωκε (τῷ 874) τῷ Μεθοδίῳ τὴν ἐξουσίαν αὐτοῦ, ἔγραψεν ὑπὲρ αὐτοῦ Λουδοβίκῳ τῷ Γερμανικῷ καὶ Καρόλῳ τῷ Μεγάλῳ, τοῖς δὲ παρανόμοις ἐπισκόποις ἀπηγόρευσε τὴν θείαν λειτουργίαν ἐπιτελεῖν ([3]).

Τέλος κατενόησαν καὶ οἱ Σλάβοι τῆς Μοραβίας, ὅτι οἱ γερμανοὶ ἐπίσκοποι περὶ ἐλαχίστου ποιοῦνται τὴν ἐξουσίαν τῆς ἀληθείας τοῦ

νὸν Αὐτοκράτορα καὶ τὸν γερμαν. κλῆρον ἕνεκα τῆς Μοραβίας βλ. Ματζέβσκην, σελ. 38-49.

([1]) Παννον. βιογρ. Κυρίλλου καὶ Μεθοδίου, βιογρ. Κλήμ., Νέστωρ., Μην. περὶ Μεθοδίου.

([2]) Ἡ χιλανδαρ. βιογραφία λέγει, ὅτι ὁ ἅγ. Κύριλλος ἐτελεύτησεν ἐν Ῥώμῃ τῷ ωξη΄ Φεβρ. ιδ΄, δύο καὶ τεσσσαράκοντα ἔτη γεγονώς. Ἀλλὰ τὸ ἔτος δείκνυται ὀρθότερον ἐν τῇ παννον. βιογρ.—ωξθ΄.

([3]) Παννον. βιογ. τοῦ Μεθοδίου. Αἱ ἐπιστολαὶ τοῦ Πάπα παρὰ Δοβροβίσκῳ, σελ. 68 καὶ 69.

Χριστοῦ, ὅτι πρώτιστον καὶ κυριώτατον μέλημα αὐτῶν ἦν τὸ ποιήσασθαι ὑφ' ἑαυτοῖς τοὺς Σλάβους, καὶ ὅτι πρὸς τοῦτο κατεδίωκον οὕτω λυσσωδῶς τὴν ἐν τῇ σλαβικῇ γλώσσῃ λατρείαν. Ἐντεῦθεν ἐξήλασαν αὐτοὺς ἐκ τῆς Μοραβίας, καὶ παρεκάλεσαν τὸν Πάπαν ἀποστεῖλαι αὐτοῖς τὸν Ἀρχιεπίσκοπον Μεθόδιον. Καὶ ὁ Θεῖος ἀνὴρ ἀνεκηρύχθη Ἀρχιεπίσκοπος τοῦ μοραβικοῦ κράτους. « Ἔκτοτε, λέγει αὐτόπτης, ἤρξατο διαδίδοσθαι ταχέως ἡ θεία διδασκαλία, ἡ εἰδωλολατρεία καὶ ἡ δεισιδαιμονία ἐξέλιπον! » τὸ δὲ κράτος τοῦ Σουατοπόλκου ἐπέδωκε καὶ ἤνθησε ([1]). Τοῖς δὲ Γερμανοῖς οὐδαμῶς ἔμελλε περὶ τῆς προαγωγῆς τῆς πίστεως καὶ περὶ τῆς προόδου τοῦ κράτους. Οὐδαμῶς ἠδύναντο ἀνεχθῆναι τὴν ὑπὸ τοῦ Μεθοδίου γενομένην αὐτοῖς ἀπώλειαν τῆς τε ἐξουσίας καὶ τῶν προσόδων αὐτῶν. Ἀπῆλθον εἰς Ῥώμην, ἔνθα ἀνήνεγκον τῷ Πάπᾳ, ὅτι ὁ Μεθόδιος, ἀποστάτης γενόμενος τῆς πίστεως, οὐχ ὁμολογεῖ ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον καὶ ἐκ τοῦ Υἱοῦ, οὐ μόνον τὴν οἰκουμενικὴν ἐξουσίαν τοῦ Πάπα οὐ κηρύττει, ἀλλὰ καὶ δὴ καὶ τὴν ἀπ' αὐτοῦ ἐξάρτησιν αὐτοῦ, καὶ διὰ τοῦτο ἐξαπλοῖ τὴν ἐν τῇ θείᾳ λατρείᾳ χρῆσιν τῆς σλαβικῆς γλώσσης. Ὁ Π. Ἰωάννης οὐκ ἠδύνατο ταραχθῆναι ὑπὸ τῆς καταγγελίας περὶ τῆς πρὸς τοὺς Γερμανοὺς διαφωνίας τοῦ Μεθοδίου διὰ τὸ περὶ τοῦ ἁγίου Πνεύματος δόγμα, διότι καὶ αὐτὸς ὡμολόγει αὐτὸ συνῳδὰ τῷ Φωτίῳ καὶ τῷ Μεθοδίῳ. Ἀλλ', ὡς Πάπας, κατεθορυβήθη ὑπὸ τοῦ φόβου μὴ ἀπολέσῃ τὴν ἐπὶ τῆς Μοραβίας ἐξουσίαν αὐτοῦ. Ἐκ τούτου δ' ἀπηγόρευσε (τῷ 878) παρὰ τὴν προτέραν αὐτοῦ θέλησιν τῷ Μεθοδίῳ χρῆσθαι τῇ σλαβικῇ γλώσσῃ ἐν ταῖς ἱεροτελεστίαις, τὸ δ' ἐπιὸν ἔτος, ἐπαναλαβὼν τὴν ἀπαγόρευσιν ταύτην, μετεπέμψατο εἰς Ῥώμην αὐτόν. Οἱ Γερμανοὶ μεγάλον ἐθριάμβευσαν θρίαμβον. Ἀφίκοντο εἰς Μοραβίαν, ἔνθα ἐκήρυττον, ὅτι ὁ μὲν Μεθόδιος ἐστερήθη τῆς ἐξουσίας αὐτοῦ, ἡ δὲ Μοραβία ἀπεδόθη αὐτοῖς ([2]). Ἀλλ' ὁ Π. Ἰωάννης οὐκ ἦν ὁ Π. Νικόλαος. Ὁ

([1]) Παννον. Βιογρ. τοῦ Θεθοδίου.

([2]) Παννον. βιογρ. τοῦ Μεθοδίου· ὁ Πάπας ἔγραψε πρὸς τὸν ἱερὸν ἄνδρα: « Διὰ τῶν γραμμάτων τούτων τῆς ἡμετέρας Ἀποστολικότητος ἐντελλόμεθά σοι καταλιπεῖν ἅπαντα, σπουδάσαι δὲ νῦν ἀφικέσθαι πρὸς ἡμᾶς» (Mans. T. XVIII). Τῷ 880 ἔγραψε πρὸς τὸν Σουατοπόλκον: «Ἠρωτήσαμεν αὐτὸν ἐνώπιον τῶν

τοῦ Φωτίου ὑπέρμαχος ἀπεφήνατο (τῷ 880) ἐν Συνόδῳ συναθροισθείσῃ ἐν Ρώμῃ, ὅτι ὁ ἅγιος Μεθόδιός ἐστιν ἐν ἅπασιν ὀρθόδοξος. Ὁ θεῖος ἀνὴρ ἐπανῆλθεν εἰς Μοραβίαν, κατασταθεὶς ὑπὸ τοῦ Πάπα κύριος ἁπάσης

ἀδελφῶν ἡμῶν: οὕτως ἀποδέχεται (ὁ Μεθόδιος) τὸ Σύμβολον τῆς ὀρθοδόξου πίστεως καὶ οὕτω ψάλλει αὐτὸ κατὰ τὴν θείαν λειτουργίαν, ὡς ἡ ἁγία ρωμαϊκὴ Ἐκκλησία, καὶ ὡς ἐκηρύχθη καὶ παρεδόθη ὑπὸ τῆς ἕκτης οἰκουμ. Συνόδου» ; Καὶ περαιτέρω λέγει : Εὕρομεν αὐτὸν ὀρθόδοξον ἐν ἁπάσῃ τῇ ἐκκλησιαστικῇ διδασκαλίᾳ». Ἐκ τῶν λόγων τούτων δείκνυται, ὅτι ὁ Ἰωάννης ἦν σύμφωνος τῷ Μεθοδίῳ ὡς πρὸς τοῦτο τὸ δόγμα. Ὁ τοῦ Μεθοδίου παννον. βιογράφος λέγει, ὅτι κατεδίωκον αὐτὸν οἱ τὴν Υἱοπατορικὴν αἵρεσιν πάσχοντες, δηλ. οἱ δοξάζοντες ἐκπορεύεσθαι τὸ ἅγιον Πνεῦμα ἐκ τοῦ Υἱοῦ καὶ τοῦ Πατρός. Τὸ αὐτὸ δεικνῦσιν ἡ τοῦ Γερμανοῦ Ριχβάλδου καταγγελία καὶ ἡ τοῦ Κλήμεντος βιογραφία. Ὁ Π. φώτιος γράφει ἐν τῇ περὶ τῆς τοῦ ἁγίου Πνεύματος Μυσταγωγίας πραγματείᾳ αὐτοῦ περὶ τοῦ Ἰωάννου τάδε : Οὗτος τοίνυν ὁ Ἰωάννης ἡμέτερος .... οὗτος ὁ κεχαριτωμένος τῆς Ρώμης Ἀρχιερεὺς διὰ τῶν αὐτοῦ θεοσεβεστάτων καὶ περιδόξων τοποτηρητῶν Παύλου καὶ Εὐγενίου καὶ Πέτρου τῶν Ἀρχιερέων καὶ ἱερέων Θεοῦ ἐν τῇ καθ' ἡμᾶς Συνόδῳ παραγεγονότων (τῷ 879), ὡς ἡ καθολικὴ τοῦ Θεοῦ Ἐκκλησία καὶ οἱ πρὸ αὐτοῦ τῆς Ρώμης Ἀρχιερεῖς, τὸ τῆς πίστεως ἀποδεχόμενος Σύμβολον, γνώμῃ καὶ γλώσσῃ χερσὶν ἱεραῖς τῶν εἰρημένων περιφανεστάτων καὶ θαυμασίων ἀνδρῶν ὑπέγραψέ τε καὶ ἐπεσφράγισεν». Εἰ δ' αὐτὸς ὁ Πάπας ἦν σύμφωνος ἐν τῷ περὶ τοῦ ἁγίου Πνεύματος δόγματι τῷ Μεθοδίῳ καὶ τῷ Φωτίῳ, ἀναμφιβόλως οὐ τοῦτο, ἀλλ' ἄλλο τι ἠνάγκασεν αὐτὸν περιπεσεῖν ἀντιφάσει πρὸς ἑαυτὸν περὶ τῆς σλαβ. λειτουργίας καὶ μεταπέμψασθαι εἰς Ρώμην τὸν Μεθόδιον. Αἰτία τούτου ἦν ἡ ἀσθένεια, ἧς οὐκ ἦν ἀπηλλαγμένος καὶ ὁ Ἰωάννης. Ὁ Πάπας ἐν τῇ ἐπιστολῇ ad Tubentarum, ἤ, κατ' ἄλλο ἀπόγραφον Zvenparum de Moravna, πάνυ σαφῶς ἐξεδήλου τὸν φόβον αὐτοῦ, μὴ ἡ ἐν τῇ Παννονίᾳ κειμένη πόλις Ζούπανον μετὰ τῆς ἀποδοχῆς τῶν ἑλληνικῶν ἱεροτελεστιῶν καταλίπῃ τὸν Πάπαν. Ep. 194. Ἐντεῦθεν, ὅτε ὁ Μεθόδιος διεξηγήθη προσωπικῶς πρὸς τὸν Πάπαν, οἱ Γερμανοὶ ἤρξαντο διαδιδόναι τὴν φήμην, ὅτι ὁ Μεθόδιος περιέπεσε τῇ ὀργῇ τῶν ἐν Κωνσταντινουπόλει. ὁ Π. ὁ Ἰωάννης ἠβούλετο, ὡς καὶ οἱ προκάτοχοι αὐτοῦ, κατέχειν τῷ ἑνιαίῳ τῶν λατινικῶν ἱεροτελεστιῶν τὰ πνεύματα ἐν δουλικῇ ὑποταγῇ εἰς τὸν Πάπαν. Καὶ αὐτὸς καὶ ὁ Ἀδριανὸς ἐφρόνουν, ὅτι δεῖ συνάπτειν τὴν λα-

τῆς Ἐκκλησίας τῆς Μοραβίας (¹). Μαθόντες τοῦτο οἱ Γερμανοί, διέδοσαν τὴν φήμην, ὅτι δῆθεν ὁ Μεθόδιος περιέπεσε τῇ ὀργῇ τοῦ Πατριάρχου καὶ τοῦ Αὐτοκράτορος τῆς Κωνσταντινουπόλεως ἕνεκα τῆς προσεγγίσεως αὐτοῦ πρὸς τὸν Πάπαν. Διαψευσθείσης δὲ καὶ ταύτης τῆς φήμης, ἐσπούδασαν παντὶ σθένει διεγεῖραι κατ' αὐτοῦ τὸν Σουατοπόλκον. Θαυμαστὴ ἐπιμονὴ ἐν ἐπιθυμίαις προδήλως ἀτίμοις! Ὁ Σουατοπόλ-

---

τιν. γλῶσσαν τῇ σλαβικῇ ἐν τῇ θείᾳ ἱερουργίᾳ. Οἱ δὲ Γερμανοὶ προέβησαν πολλῷ πορρωτέρω· παντὶ σθένει δηλαδὴ ἐσπούδαζον γενέσθαι κύριοι τῶν Σλάβων διὰ τῆς ἐν τῇ θείᾳ λατρείᾳ χρήσεως τῆς λατιν. γλώσσης.

(¹) Παννον. βιογρ. τοῦ Μεθοδίου. Ἰωάννης ὁ Π. Ep. 247 ad Sventopulcum an. 880 Ἐνταῦθα γράφει ὁ Πάπας: «Ἐχειροτονήσαμεν πρεσβύτερον τὸν Βίχιγγκον, ὃν σὺ ἀπέστειλας, ὡς ἐκλεγέντα εἰς ἐπίσκοπον τῆς Ἐκκλησίας τῆς Νίτρας (Neitra, Ereitra, Nitria)· ἐντελλόμεθα ὑπακούειν αὐτὸν ἐν ἅπασι τῷ ἑαυτοῦ Ἀρχιεπισκόπῳ, ὡς διακελεύονται οἱ ἱεροὶ κανόνες». Ὁ πονηρὸς οὗτος Γερμανὸς ἤρξατο, ἅμ' ἐπανελθὼν ἐκ Ῥώμης, ἐνεργεῖν κατὰ τοῦ Μεθοδίου λέγων, ὅτι εἶχε μυστικὴν τοῦ Πάπα ἐντολήν. Ὁ Πάπας ἔγραψε τῷ 881 πρὸς τὸν Μεθόδιον: «Οὔτε φανερῶς, οὔτε μυστικῶς ἐνετειλάμεθα αὐτῷ ποιεῖν ἄλλο τι, ἢ ὅ, τι ὡρίσαμεν ποιεῖν σοί». Ep. 268. Οἱ πόνοι τοῦ Μεθοδίου προπαρεσκεύασαν τῷ δολίῳ Γερμανῷ τὴν ἐπισκοπ. ἕδραν, διότι πλησίον τῆς Νίτρας ὑπῆρχον μέχρις ἐκείνου τοῦ χρόνου πολλοὶ ἐθνικοί. Τεοτμάρος ὁ ἐκ Σαλισβούργης ἔγραφε τῷ 900ῷ ἔτ. «Wichingum consecravit in quandam neophytam gentem, quam ipse dux (ὁ Σουατοπόλκος) domnit bello et ex paganis Christianos esse patravit». Περὶ τῶν ἀποστολικῶν πόνων τοῦ Μεθοδίου πρὸς φωτισμὸν τῶν ἐθνικῶν ποιεῖται λόγον ὁ βιογράφος αὐτοῦ. Ὁ Δοβρόβισκος (σελ. 78) ἡγεῖται τὴν μαρτυρ. τῶν Συναξαρ. τῆς Λουδμίλλης περὶ τῶν ὑπὸ τὸν Μεθόδιον ἑπτὰ ἐπισκόπων ὡς ἐπακολούθημα ἀμαθοῦς συγχύσεως τῶν χρόνων. Τοῦτο οὐχ οὕτως ἔχει! Πλὴν τοῦ Βιχίγγου ὁ Πάπας ὑπισχνεῖται χειροτονῆσαι ἔτι ἐπίσκοπον καὶ ποιεῖται μνείαν τῶν ὑπὸ τὸν Μεθόδιον ἐπισκόπων (ep. 190. 247). Κατὰ τὴν βιογραφίαν τοῦ Κλήμεντος: «Κορυφαῖοι τοῦ χοροῦ τῶν διδασκάλων ἦσαν ὁ Γόρασδος . . . καὶ μέντοι καὶ Κλήμης . . . καὶ Λαυρέντιος καὶ Ναοὺμ καὶ Ἀγγελάριος . . . . . .» Ἐν τῇ τῆς Κωνσταντινουπόλεως Συνόδῳ (τῷ 879) παραγέγονεν ὁ Μοραβῶν Ἀρχιεπίσκοπος Ἀγάθων. Ὁ χῶρος, ἐν ᾧ ἐπόνει ὁ Μεθόδιος ἦν πάνυ εὐρύς· ἐν αὐτῷ νῦν ὑπάρχουσιν 20 ἐπίσκοποι.

χος οὐκ ἠδύνατο κρατῆσαι τῶν παθῶν αὐτοῦ, εἰ καὶ ἐξήπλου τὴν ἐξουσίαν αὐτοῦ ἐπὶ τῶν γειτόνων ἡγεμόνων. Οὐκ ἀσμένως ἠκροᾶτο τοῦ τὰ πάθη αὐτοῦ μετὰ παρρησίας κατακρίνοντος Μεθοδίου, ἐν ᾧ οἱ Γερμανοὶ ἐποίουν τοὐναντίον. Ἐντεῦθεν ὁ ἡγεμὼν οὗτος ἤρξατο δεικνύειν ἀναφανδὸν πρὸς μὲν τὸν Μεθόδιον ἄκραν δυσμένειαν, πρὸς δὲ τοὺς Γερμανοὺς καὶ τὰς πλάνας αὐτῶν, μεγάλην εὔνοιαν. Τῷ πρὸς διάδοσιν καὶ ἐμπέδωσιν τῆς ὀρθοδοξίας τοσοῦτον μοχθήσαντι θείῳ ἀνδρὶ ἀπέκειτο πολλὰ καὶ ποικίλα ὑποστῆναι δεινὰ μέχρις αὐτοῦ τοῦ τάφου! ([1]).

Παρ᾽ ἅπασαν τὴν ἀντίπραξιν τῆς γερμανικῆς φιλοκερδείας καὶ φιλαρχίας, παρ᾽ ἅπασαν τὴν καταφορὰν τῆς ἀμαθείας τῶν Π ι λ α τ ι σ τ ῶ ν, ἅπαντα τὰ σλαβικὰ φῦλα ἀπὸ τῆς Χορβατίας καὶ Δαλματίας μέχρι τῶν ὁρίων τῆς Πολωνίας ἐχρῶντο τῇ σλαβικῇ γλώσσῃ ἐν τῇ θείᾳ λατρείᾳ. Ἐκεῖνα ἐξ αὐτῶν, ἃ οὐκ ἐβαπτίσθησαν μέχρις ἐκείνου τοῦ χρόνου, π. χ. ἡ Βοημία μετὰ τοῦ ἡγεμόνος αὐτῆς Βορζιβούου ἢ Βοριβούου, ἐδέξαντο τὸ ἅγιον βάπτισμα κατὰ τὴν διάταξιν τοῦ Μεθοδίου. Αὐτὸ τὸ μοραβικὸν κράτος, πάνυ ἐπεκταθὲν ὑπὸ τοῦ Σουατοπόλκου, περιεῖχεν ἐν τοῖς ὁρίοις αὐτοῦ σλαβικά τινα φῦλα· μετὰ τῆς ἐπεκτάσεως δὲ τῆς χώρας ἐξηπλοῦτο ὑπὸ τοῦ Μεθοδίου καὶ ἡ ἁγία πίστις ([2]). Δυστυχῶς δὲ μετὰ τὸν θάνατον τοῦ Με-

([1]) Βλ. βιογρ. τοῦ Κλήμεντος.

([2]) Τίς ἠδύνατο φαντασθῆναι, ὅτι κατὰ τὸν ιθ´ αἰῶνα δυνατὸν ἦν παρασυρθῆναί τινας ὑπὸ τῆς πρὸς τὴν Ρώμην ἀφοσιώσεως, οὕτως, ὥστε γράψαι περὶ τῆς χρήσεως τῆς σλαβ. γλώσσης ἐν τῇ θείᾳ λατρείᾳ ὅτι «ἐν τ ῇ ν ῦ ν Μ ο ρ α β ί ᾳ, τ ῇ Β ο η μ ί ᾳ, κ α ὶ τ ῇ Π ο λ ω ν ί ᾳ, ο ὐ δ έ π ο τ ε ἦ ν ἐ ν ἰ σ χ ύ ϊ (viguisse); Ἀλλὰ τοῦτο γράφει ὁ σοφὸς Κοπιτάριος καὶ ἰσχυρίζεται, ὅτι αὕτη ὑπῆρχε μόνον ἐν Παννονίᾳ καὶ ἐνταῦθα ἐπὶ βραχὺν μόνον χρόνον (ἀπὸ τοῦ 870 μέχρι τοῦ 895) (Copitar Hesychius glossographus p. 34. 49-57). Εἰς τί δὲ μετὰ τοῦτο χρησιμεύουσιν αἱ μαρτυρίαι τῶν συγχρόνων τῷ Μεθοδίῳ; Τίς οὐχ ὁρᾷ, ὅτι ὑπάρχουσι καὶ νῦν Π ι λ α τ ι σ τ α ὶ ὡς ἐπὶ τοῦ Μεθοδίου; Οὐ λέγομεν, ὅτι ἡ γνώμη τοῦ Ματζεσβοκίου ἐστὶ ἐν ἅπασιν ὀρθή: Ὁ Κοπιτάριος φρονεῖ ὀρθῶς ἐν ταῖς μερικαῖς σημειώσεσι περὶ τοῦ Ματζεσβοκίου (Hesychius p. 56-58). Ἀλλ᾽ ὁ Κοπιτάριος ἐπήδεσεν ὑπὲρ τὰ ἐσκαμμένα, διὸ καὶ κατέστη γελοῖος (p. 38-54). Ὡς πρὸς τὴν Δαλματίαν ὁ ἱερεὺς Διοκλέας λέγει: Missam

θοδίου, συμβάντα τῇ 6ῃ Ἀπριλίου τοῦ 885 [1], ἐξώρισαν οἱ Γερμα-

---

eis ordinans (ὁ Μεθόδιος) more Graecorum». Οἱ ἐπίσκοποι αὐτῆς Ἐζέρσικος καὶ Δραγοβίσκιος παρεγένοντο ἐν ταῖς τῷ 877 καὶ 879 ὑπὲρ τοῦ Φωτίου συγκροτηθείσαις συνόδοις. Κατὰ τὸν αὐτὸν χρόνον οἱ ἡγεμόνες αὐτῆς Ζδιλάβος καὶ Βρονομῆρος ἠρνήσαντο τὴν ἐξουσίαν τοῦ Πάπα. Mährische Legende S. 59. 60. Περὶ τῆς Βοημίας ὅρα Κοσμᾶν παρὰ Δοβροβίσκῳ 80, παρὰ Μεακήνᾳ : Script. Rerum german. T. I. p. 1967. καὶ τὸ βοημ. Συναξάρ. τοῦ δεκάτου αἰῶνος περὶ τοῦ ἁγ. Βικεσλάβου «. . . Λουδμίλλα ἐβαπτίσθη ὑπὸ ἱερέων τοῦ Μεθοδίου, λέγει ὁ Κοσμᾶς . . . .» Τῷ 967 ὁ Πάπας, καταστήσας λατινικὴν ἕδραν ἐν Πράγᾳ, ὥρισεν, ἵνα ἡ θεία λατρεία ἐπιτελῆται οὐ κατὰ τὸ Τυπικὸν τοῦ βουλγαρικοῦ ἢ τοῦ ῥωσσικοῦ λαοῦ, ἀλλὰ κατὰ τὰς διατάξεις τῆς ῥωμαϊκῆς Ἐκκλησίας (Κοσμᾶς). Ὁ Δοβρόβισκος ὑποτίθησιν, ὅτι ὁ Βορζιβόϋος ἐβαπτίσθη μεταξὺ τοῦ 870 καὶ 880. Περὶ τῆς Πολωνίας, ἔνθα ὁ ἡγεμὼν Μεκισλάβος ἐπεστράφη εἰς τὴν χριστιαν. πίστιν ὑπὸ τῶν Βοημο-Μοραβῶν μαθητῶν τοῦ Μεθοδίου ὅρ : Δίτμαρον Chronic. Lib. 4. 359. (Scrip. rer Bruns. T. I.), Μαρτῖνον Γάλλον, Chronic. Lib. I. c. 5. (ed Bundtke, Varsav. 1824). Ἀλλ᾽ ἔτι ἐπὶ τοῦ Ζιμοβίστου, πάππου τοῦ Μεκισλάβου, ἦσαν χριστιανοὶ ἐν Πολωνίᾳ. Ὁ Μεθόδιος, κατὰ τὸν βιογράφον αὐτοῦ, παρῄνει τὸν ἡγεμόνα τῆς Ναδβισλαβίας δέξασθαι τὸν χριστιανισμ. ὅστις καὶ ἀπεδέξατο, περὶ τῆς πωλονικῆς ἐκκλησίας βλ. Friese Krichengesch. Polens. Breslau, 1786. Ἡ χρῆσις τῆς λατ. γλώσσης ἐν τῇ θείᾳ ἱερουργίᾳ εἰσήχθη ἐν Πολωνίᾳ περὶ τὸ 1100ον ἔτ. (Δίτμαρος Lib. VI. T. I. p. 397).

[1] Ἁπάσας τὰς περὶ τοῦ χρόνου τῆς τελευτῆς τοῦ Μεθοδίου ἀμφιβολίας λύει ἡ πανν. βιογρ. αὐτοῦ. Ὁ θεῖος ἀνὴρ κατὰ τὴν Κ. τῶν Βαΐων τὸ τελευταῖον, ἀσθενὴς ὤν, διελέχθη πρὸς τὸ ποίμνιον αὐτοῦ καὶ τότε εἶπεν: «Ἐπιμελήθητέ μου, τέκνα, μέχρι τῆς τρίτης ἡμέρας». Καὶ τῇ πρωΐᾳ τῆς τρίτης ἡμέρας, τῇ ς′ Ἀπριλίου τοῦ ωπε′ ἐξεδήμησε πρὸς Κύριον. Οὕτω λέγει ὁ βιογράφος. Τὸ Πάσχα τοῦ ωπε′ ἔτους ἦν τῇ ια′ Ἀπριλ., ἡ Κυριακὴ τῶν Βαΐων τῇ δ′ Ἀπριλ. Ἡ τρίτη τοίνυν ἡμέρα μετὰ τὴν δ′ Ἀπριλ. ἦν ἡ ς′ Ἀπριλ. τοῦ ωπε′ ἔτ. Ὁ βιογράφος τοῦ Κλήμεντος λέγει, ὅτι ὁ ἅγ. Μεθόδιος «τέταρτον πρὸς τῷ εἰκοστῷ ἔτος τῇ ἀρχιερωσύνῃ ἐνέπρεψε». Τοῦτο σφάλμα τῆς γλώσσης. Ὤφειλεν εἰπεῖν, ὅτι ὁ Μεθόδιος ἐπόνησε παρὰ τοῖς Σλάβοις εἰκοσιτέσσαρα ἔτη. Ἡ μνήμη αὐτῶν ἐτέθη τῇ ια′ Μαΐου.

νοὶ εἰς Βουλγαρίαν τοὺς μαθητὰς αὐτοῦ (1). Οἱ σπόροι τῆς ἔμφρονος εὐσεβείας καὶ τῆς ὀρθοδοξίας, οἱ δαψιλῶς σπαρέντες ὑπὸ τῶν ἁγίων Κυρίλλου καὶ Μεθοδίου ἐν ταῖς εὐρείαις νοτιοδυτικαῖς σλαβικαῖς οἰκήσεσιν, ἤρξαντο μετ᾽ αὐτοὺς ἀποξηραίνεσθαι ὑπὸ τῆς βαρβαρότητος τῆς λατινικῆς ἀμαθείας. Μόνον δὲ ὑπὸ τὴν εἰρηνικὴν σκέπην τοῦ Πατριάρχου τῆς Ἀνατολῆς ἡ Βουλγαρία ἔσχε τὴν εὐτυχίαν τοῦ εὐθυνεῖσθαι τῇ παιδεύσει καὶ τῇ εὐσεβείᾳ, ἵνα μεταδῷ τῇ Ῥωσσίᾳ τοὺς καρποὺς τῶν ἀποστολικῶν πόνων τῶν φωτιστῶν τῶν Σλάβων (2).

---

(1) Ὁ βιογράφος τοῦ Κλήμεντος λέγει «.... Οὐκ ὀλίγοι δὲ πάντως ἦσαν, ἀλλ᾽ εἰς διακοσίους ἀπαριθμούμενοι. .... ὅσοι δὲ διδασκάλων ἐπεῖχον τάξιν, οἷος δὴ Γόρασδος ἐκεῖνος, οὗ πολλάκις ἐμνήσθημεν, ὃν ἐκ Μοράβου γενόμενον καὶ ἄμφω τὰ γλῶττα τήν τε σλαβονικὴν ὄντα καὶ τὴν γραικικὴν ἱκανώτατον, ἡ μὲν ἀρετὴ Μεθοδίου τῷ θρόνῳ δέδωκεν, ἡ δὲ τῶν αἱρετικῶν κακία τὸν θρόνον τῇ στερήσει τοῦ ἀνδρὸς ἀπεκόσμησε· καὶ μέντοι καὶ Κλήμης πρεσβύτερος, ἀνὴρ λογιώτατος, καὶ Λαυρέντιος, καὶ Ναούμ, καὶ Ἀγγελάριος, τούτους δὴ καὶ ἄλλους πλείους ὀνομαστοὺς σιδηροδέτους φυλακαῖς εἶχον ἐγκλείσαντες, ἐν αἷς πᾶσα παράκλησις ἀπηγορεύετο, οὐ συγγενῶν ....». Βλ. ep. Papæ 247 ad Sventopulcum an. 880. πρβλ. ep. 190. 194.

(2) Ἡ ἐν Δαλματίᾳ τῷ 925 συγκροτηθεῖσα σύνοδος ἀπηγόρευσε τὴν χρῆσιν τῆς σλαβ. γλώσσης ἐν τῇ θείᾳ λατρείᾳ. Ἡ αὐτόθ. τῷ 1059 συστᾶσα σύνοδος ὥρισε: «Μηδεὶς τοῦ λοιποῦ τολμάτω ἐπιτελεῖν τὰ μυστήρια ἐν τῇ σλαβ. γλώσσῃ, ἀλλὰ μόνον ἐν τῇ λατινικῇ καὶ τῇ ἑλληνικῇ· μηδεὶς τῶν ἀνθρώπων ταύτης τῆς γλώσσης (τῆς σλαβικῆς) προχειριζέσθω, εἰς τὰ ἱερατικὰ ἀξιώματα». Ὥρισαν δ᾽ ἔλεγον, οὕτω· διότι «τὰ γοτθικὰ γράμματα ἐξευρέθησαν ὑπό τινος αἱρετικοῦ Μεθοδίου, ὃς πολλὰ ἔγραψεν ἐν τῇ αὐτῇ γλώσσῃ (in eadem slavonicam) παρὰ τὸν κανόνα τῆς καθολικῆς Ἐκκλησίας». Οἱ Σλάβοι ἱερεῖς, οἷς οὐκ ἐπετρέπετο ἡ εἰς τοὺς ναοὺς εἴσοδος, ἀνήνεγκον τοῦτο πρὸς τὸν Πάπαν Ἀλέξανδρον. Οὗτος δ᾽ ἀπεκρίνατο: «χάριν τῶν Ἀρειανῶν, τῶν ἐξευρετῶν τούτων τῶν γραμμάτων, οὐδαμῶς δύναμαι ἐπιτρέψαι ἐπιτελεῖσθαι τὴν θείαν λατρείαν ἐν τῇ γλώσσῃ αὐτῶν». (Thomae Archid. Spalat. † 268. Hist. Salonit. Episc.). Τὸν Μεθόδιον καὶ τοὺς Σλάβους τῆς Δαλματίας ἐκάλουν Ἀρειανοὺς ἕνεκα τοῦ περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος δόγματος. Ἐν τούτοις ἐν τῇ Μητροπόλει τῆς Διοκλείας, ἔ-

§. 290. β') Γραπτοὶ πόνοι.

Βουλόμενοι πραγματεύσασθαι περὶ τῶν γραπτῶν πόνων τῶν φωτιστῶν τῶν Σλάβων, οὐ ποιησόμεθα λόγον περὶ τῆς ὑπὸ τοῦ ἁγίου Κυρίλλου ἐξευρέσεως τῶν γραμμάτων τοῦ σλαβονικοῦ Ἀλφαβήτου (1)· σημειοῦμεν δὲ μόνον, ὅτι ὁ πόνος οὗτος, αὐτὸς καθ' ἑαυτὸν

νεκα τῆς γειτνιάσεως αὐτῆς τῇ ἑλληνικῇ Ἐκκλησίᾳ, οἱ παπισταὶ ἐπὶ πολὺ οὐκ ἠδύναντο περιγενέσθαι τῶν Σλάβων. Ὁ αὐτὸς Π. Ἀλέξανδρος (Ep. 4 ad Petrum Dalmatiae et Slavoniae Archiep.) τῷ 1062, ἔγραφε: « Μερίμνα περὶ τῶν μοναστηρίων τῶν τε Λατίνων καὶ Ἑλλήνων ἢ Σλάβων. οὐ λανθάνει σε, ὅτι ἐστὶ μία Ἐκκλησία ». Τὸ βασίλειον τῆς Μοραβίας διῃρέθη τῷ 904 μεταξὺ τῶν Οὔγγρων καὶ τῶν Βοημῶν. Οἱ πρῶτοι ἦσαν μέχρι τοῦ 982 ἐθνικοί, ἔπειτα ἐγένοντο παπισταί. Εἰς τὸν Σαλαβάρας τῆς Παννονίας ναὸν εἰσήγαγεν ὁ βασ. Στέφανος ὁ Βοῆκος τῷ 1019 λατῖνον Ἀββᾶν. Παρὰ τὴν βοῦλλαν Ἰωάννου τοῦ Η' (Ep. 247) Ὁ Βοημὸς Προκόπιος καθίδρυσε τὸ τῆς Σαζάβας σλαβ. Μοναστήριον (τῷ 1035). Τῷ 1052 εἶπον οἱ παπισταὶ τῷ ἡγεμόνι Σπιτιγδέβῳ, ὅτι τὰ σλαβ. γράμματα εἰσάγουσιν αἵρεσιν, καὶ διὰ τοῦτο εἰσήγαγον εἰς αὐτὸ λατίνους μοναχούς· ὁ βασ. Βρατισλάβος (τῷ 1063) ᾐτήσατο ἵνα ἐπιτραπῇ ἡ χρῆσις τῆς σλαβ. γλώσσης ἐν τῇ θείᾳ λατρείᾳ. Ὁ ἀλαζὼν Γρηγόριος ὁ Ζ' ἔγραψε (τῷ 1080) αὐτῷ: « Ἡ ὑμετέρα ὑψηλότης παρεκάλεσεν, ἵνα ἐπιτελῶνται παρ' ὑμῖν αἱ ἱεροτελεστίαι ἐν τῇ σλαβικῇ γλώσσῃ. Ἐξ οὐδενὸς τρόπου δυνάμεθα εἶναι εὐμενεῖς πρὸς τὴν σὴν παράκλησιν.... Τῇ ἐξουσίᾳ τοῦ ἁγ. Πέτρου ἐντελλόμεθα μὴ γενέσθαι, ὅπερ ἀλόγως αἰτεῖσθε ». Mansi T. XX. p. 296. Τῷ 1092 οἱ σλάβοι μοναχοὶ καὶ ἡ σλαβ. λειτουργία ἐξεβλήθησαν ἐκ τῆς Σαζάβας. Οὐ μὴν ἀλλὰ ἡ χρῆσις τῆς σλαβ. γλώσσης εὕρισκεν ἐνιαχοῦ καὶ μετὰ τοῦτο καταφύγιον. Cosmae Chron. Lib. I. in Mencenii Script. rer. German. T. III. p. 1382.

(1) Ὁ τῷ Π. Φωτίῳ καὶ τῷ Μεθοδίῳ σύγχρονος Πάπας Ἰωάννης ὁ Η ἐν ἐπιστ. γραφείσῃ τῷ 880 καλεῖ τὸν Κωνσταντῖνον ἐξευρετὴν τῶν γραμμάτων τοῦ σλαβ. Ἀλφαβήτου: Litteras slavonicas a Constantino quodam philosopho repertas, quibus Deo laudes debite resonent, jure laudamus». Epist. 247 ad Stentopulcum comitem. Γράφων δὲ ὁ Ἰωάννης Constantino quodam δείκνυσιν, ὅτι καὶ αὐτὸς οὐκ ἦν ἀπηλλαγμένος τῶν ἀδυναμιῶν, ὑφ' ὧν κατείχοντο οἱ πρὸ αὐτοῦ Πάπαι. Ἄλλαι μαρτυρίαι παρὰ Δοβροβίσκῳ σελ. 27-36.

σπουδαῖος, λαμβάνει ἰδιάζουσαν σπουδαιότητα ἐν τῇ μετὰ τοῦ ἔργου τῆς πίστεως συναφείᾳ αὐτοῦ· ἐν ταύτῃ τῇ τελευταίᾳ αὐτοῦ μορφῇ ἐστὶ καρπὸς τῆς ἀποστολικῆς ἐκείνης σοφίας, ἐφ᾽ ᾗ διέπρεπον καὶ διαπρέπουσιν αἱ διατάξεις τῆς Ἀνατολικῆς Ἐκκλησίας· τοῦτό ἐστι τὸ πρῶτον βῆμα πρὸς τὸ μέγα ἔργον τῶν ἱερῶν ἀνδρῶν καὶ ἀποδείκνυσιν οἵου πνεύματος διδάσκαλοι ἦσαν. Ὁ σπουδαιότατος τῶν γραπτῶν αὐτῶν πόνων ἐστὶν ἀναμφηρίστως ἡ εἰς τὴν σλαβικὴν γλῶσσαν ἐκ τῆς ἑλληνικῆς ὑπ᾽ αὐτῶν γενομένη μετάφρασις τῶν ἱερῶν βιβλίων, διὸ περὶ αὐτοῦ κυρίως πραγματευσόμεθα. Ἀλλ᾽ οὐ κατέλιπον ἴδιόν τι αὐτῶν σύγγραμμα, ἐν ᾧ ἴδοι ἄν τις ἀκριβῶς τὸ πνεῦμα αὐτῶν;

Ἴδιον σύγγραμμα τοῦ ἁγίου Κυρίλλου ἐστὶν ἡ Ὁ μ ο λ ο γ ί α τ ῆ ς π ί σ τ ε ω ς, εἰς τρία μέρη διαιρουμένη. Ἐν τῷ πρώτῳ μέρει ἐκτίθεται ἡ ὁμολογία τοῦ περὶ τῆς ἁγίας Τριάδος δόγματος, ἐν τῷ δευτέρῳ ἐν ἐκτάσει ἡ τῆς Ἐνανθρωπήσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ· ἐν τῷ τρίτῳ διὰ βραχέων ἡ τῆς προσκυνήσεως τῶν ἁγίων εἰκόνων. «Πιστεύω εἰς ἕνα Θεὸν Πατέρα Παντοκράτορα, Ποιητὴν καὶ Κύριον ὁρατῶν τε πάντων καὶ ἀοράτων, ἄναρχον, ἀόρατον, ἀχώρητον, ἀπερίγραπτον, ἄτρεπτον, ἀπεριόριστον, καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, Υἱὸν μονογενῆ, ἀνάρχως, καὶ ἀχρόνως, καὶ πρὸ πάντων τῶν αἰώνων ἐκ τῆς οὐσίας τοῦ Πατρὸς ἐκλάμψαντα, καὶ εἰς ἓν Πνεῦμα ἅγιον, ἐκ μόνου τοῦ Θεοῦ Πατρὸς ἐκπορευόμενον, καὶ τῷ Πατρὶ καὶ τῷ Υἱῷ συνευλογούμενον καὶ συνδοξαζόμενον». Ἔπειτα δ᾽ ἐκτιθεὶς τὴν ὁμολογίαν τοῦ περὶ τῆς διακρίσεως καὶ τῆς ἀμοιβαίας σχέσεως τῶν θείων Προσώπων δόγματος, λέγει: «Τοῦ Πατρὸς ἰδίωμα ἡ ἀγεννησία καὶ τὸ εἶναι αἰτίαν τῶν παρ᾽ Αὐτοῦ, τοῦ Υἱοῦ ἡ γέννησις, τοῦ δὲ ἁγίου Πνεύματος ἡ ἐκπόρευσις . . . .» Περαιτέρω ἀποδεικνύς, ὅτι οὔτε τῷ τριαδικῷ τῶν Προσώπων καταστρέφεται τὸ ἑνιαῖον τοῦ Θεοῦ, οὔτε τῷ ἑνιαίῳ τὸ τριαδικόν, προστίθησι: «Τὴν ἀρειανὴν μανίαν καταστελῶ, παρ᾽ αὐτῆς δὲ καὶ πρὸς αὐτήν μοι ἡ νῦν ἔρις.» Τοιούτῳ τρόπῳ ἡ ὁμολογία τοῦ περὶ τῆς Ἁγίας Τριάδος δόγματος περιέχει ἅπαντα τὰ μέρη τοῦ δόγματος ἐν τῇ σαφεῖ, ἀκριβεῖ καὶ ὡρισμένῃ αὐτοῦ μορφῇ. Σύναμα δὲ ἐν τῇ ὁμολογίᾳ ταύτῃ τοῦ ἁγίου Κυρίλλου ἀναγινώσκομεν καὶ ὅπερ οὐχ ὁρᾶται ἐν ταῖς πρὸ αὐτοῦ

ἀνατολικαῖς ὁμολογίαις. Ὁ θεῖος διδάσκαλος λέγει, ὅτι « τὸ ἅγιον Πνεῦμα ἐκπορεύεται ἐκ μόνου τοῦ Πατρός». Ἡ ὁμολογία αὕτη καταδείκνυσιν, ὅτι οἱ τῶν Σλάβων φωτισταὶ ἕπονται τῷ πνεύματι τῆς ὀρθοδόξου ἀνατολικῆς Ἐκκλησίας, σπουδαζούσης κατὰ τοῦτον τὸν χρόνον καταδεῖξαι τῇ Δύσει ὅσον, αὐθαίρετος ἡ εἰς τὸ ἅγιον Σύμβολον προσθήκη τοῦ *Filioque*. Ἐντεῦθεν οἱ τῶν Σλάβων Ἀπόστολοι ἐποιήσαντο ἰδίαν μείαν περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος. Τοῦτο δεικνῦσιν αἱ τελευταῖαι λέξεις τῆς ὁμολογίας περὶ τοῦ ἀρειανισμοῦ: παρ' αὐτοῦ καὶ πρὸς αὐτόν μοι ἡ νῦν ἔρις. Εἴδομεν ἤδη, ὅτι οἱ τῶν Σλάβων φωτισταὶ ἀπελογήσαντο προφορικῶς καὶ ἐγγράφως (verbis et litteris) ἐνώπιον τοῦ Π. Ἀδριανοῦ ὑπὲρ τῆς αὐτῶν ὀρθοδοξίας, καὶ ὅτι αἱ κατ' αὐτῶν κατηγορίαι ἀνεφέροντο εἰς τὸ περὶ τοῦ ἁγίου Πνεύματος δόγμα. Ὁ ἅγιος Κύριλλος λέγει ἐν τῇ ὁμολογίᾳ, ὅτι ἡ ἔρις αὐτοῦ παρὰ τοῦ ἀρειανισμοῦ καὶ πρὸς τὸν ἀρειανισμόν. Τοῦτο δὲ γράφων, εἶχεν ὑπ' ὄψει τοὺς Γερμανούς. Εἴδομεν ἤδη, ὅτι οἱ τῶν σλάβων διδάσκαλοι ἐπὶ μακρὸν χρόνον ἠγωνίσαντο πρὸς τὴν Υἱοπατορικὴν αἵρεσιν τῶν Γερμανῶν. Οὗτοι ἐνόμιζον ἀνυψοῦν τὴν ἀξίαν τοῦ Υἱοῦ τοῦ Θεοῦ τῇ δοξασίᾳ περὶ τῆς καὶ ἐξ Αὐτοῦ ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος, καὶ κατεγίνωσκον τῶν οὐκ ἀποδεχομένων τοῦτο ἀρειανισμόν. Γνωστόν, ὅτι ἡ ἐν Τολέδῳ σύνοδος, ἡ τὸ πρῶτον (τῷ 589) εἰσαγαγοῦσα εἰς τὸ Σύμβολον τὸ *Filioque*, ἐνήργει κατὰ τῶν Ἀρειανῶν. Ἐπὶ Καρόλου τοῦ Μ. ἔγραψεν ὁ Ἀλκουῖνος εἰς Λούγδουνον: Φυλάττεσθε ἱσπανικὴν αἵρεσιν καὶ μηδὲν νέον προστίθετε τῷ Συμβόλῳ τῆς πίστεως », δηλαδὴ κατέκρινε διαρρήδην τὴν προσθήκην τοῦ *Filioque* (¹). Ἀλλ' ἰδοὺ ἠγέρθη ἔρις πρὸς τοὺς Ἀδοπτιανούς (Υἱοθετιστάς). Ἐλίπανδος, ὁ Τολέδου Ἀρχιεπίσκοπος, καὶ Φῆλιξ ὁ Οὐργέλλης ἐπίσκοπος ἐδόξαζον, ὅτι ὁ Ἰησοῦς Χριστὸς μόνον τὴν μὲν θείαν φύσιν ἐστὶν Υἱὸς τοῦ Θεοῦ, τὴν δὲ ἀνθρωπότητα Υἱὸς

(¹) Concil. Toledanum 3 Ap. Mans. T. IX. p. 981· Alc. Ep. 75. ad fratres Lugdunenses. Hispanici erroris sectas tota vobis cavete intantione et Symbolo Catholicae fidei nova nollite insevere».

κατὰ τὴν χάριν τῆς υἱοθεσίας (gratia adoptionis). Οὗτοι ἀπεδέχοντο τὴν καὶ ἐκ τοῦ Υἱοῦ ἐκπόρευσιν τοῦ ἁγίου Πνεύματος καὶ ἐκάλουν τοὺς μὴ ὁμοφρονοῦντας αὐτοῖς Ἀρειανούς. Οἱ τοῦ Καρόλου δογματισταὶ οὐκ ἐνόουν καλῶς τὸν Ἐλίπανδον, καὶ οὐκ ἠδύναντο ὑπερασπίσαι ἑαυτοὺς δεόντως ἕνεκα τῆς ἑαυτῶν ἀμαθείας. Ἐπανελάμβανον μόνον μηχανικῶς τοὺς λόγους τῶν ἄλλων, καὶ ἐπὶ τέλους ἀπεδέξαντο τὸ ἱσπανικὸν *Filioque*. Ὁ Ἀλκουῖνος, κατακρινόμενος ὑπὸ τοῦ Ἐλιπάνδου, ἔσπευσε γράψαι καὶ βιβλιάριον: *de processione Spiritus S.* Τὸ βιβλιάριον ἐξῆλθεν λίαν κακόν. Ἀλλὰ τί πρὸς τοῦτο (¹); Ἡ φιλαυτία, ἣν ὁ Κάρολος εἶχε καθ᾽ ὅλον αὐτοῦ τὸν βίον, ὅπως θέσῃ ἑαυτὸν ἐν τῇ χριστιανικῇ Ἐκκλησίᾳ ἐν ἐκείνῃ τῇ βαθμίδι, ἣν ἔθηκε τοὺς Αὐτοκράτορας τῆς Κωνσταντινουπόλεως ἡ εὐσέβεια, οὐ συνεχώρησεν αὐτῷ, ἵνα συμφωνήσῃ κατὰ τοῦτο μετὰ τῆς ἑλληνικῆς Ἐκκλησίας· ἐξ ἐναντίας δ᾽ ἐκ παντὸς τρόπου σπουδάζων διαρρῆξαι πᾶσαν σχέσιν τῶν ἐν τῇ Δύσει χριστιανῶν πρὸς τὴν ἀνατολικὴν αὐτοκρατορίαν, ὥρισε πρὸς ἐπίτευξιν τούτου γενέσθαι ἀποδεκτὴν ἐν τῷ κράτει αὐτοῦ τὴν εἰς τὸ Σύμβολον τῆς πίστεως δυσσεβῆ προσθήκην τοῦ *Filioque*. Περὶ τούτου ἔγραψε καὶ πρὸς τὸν Πάπαν. Ἀλλ᾽ ὁ συνετὸς Λέων ἀπηγόρευσεν αὐστηρῶς τὴν διαφθορὰν τοῦ Συμβόλου καὶ διέταξεν, ἵνα ἐγγραφῇ πλαξὶ τὸ Σύμβολον ἄνευ τῆς προσθήκης τοῦ *Filioque*. Ἀλλ᾽ ὁ Κάρολος τότε μόνον ὑπεχώρει τῇ θελήσει τοῦ Πάπα, ὅτε ἐχρῆτο αὐτῷ ὀργάνῳ πρὸς ἐπίτευξιν τῶν φιλοδόξων αὐτοῦ

(¹) Ἐν τῷ βιβλιαρίῳ τούτῳ ὁ Ἀλκουῖνος, πρὸς ἀπόδειξιν τοῦ ὅτι τὸ ἅγιον Πνεῦμα ἐκπορεύεται ἐκ τοῦ Υἱοῦ, ἀνέφερε τὰς λέξεις: ὅτι δύναμις ἐξ αὐτοῦ ἐξείρχετο καὶ ἰᾶτο πάντας. Ἡλίκη ἐξηγητικὴ σοφία! Λίαν πιθανόν, ὅτι παρωρμήθη ὁ Ἀλκουῖνος γράψαι αὐτὸ ὑπὸ τῆς πρὸς αὐτὸν ἐπιστολῆς τοῦ Ἐλαπάνδου, ἧς ἡ ἐπιγραφὴ ἔχει ὧδε: «Τῷ ἐντιμοτάτῳ ἀδελφῷ, διακόνῳ Ἀλκουΐνῳ, λειτουργῷ οὐ τοῦ Χριστοῦ, ἀλλὰ μαθητῇ τοῦ βδελυροῦ κατ᾽ ἀντίφρασιν Βεάτου, γεννηθέντι ἐν τοῖς ὁρίοις τῆς Αὐστρίας κατὰ τὸν χρόνον τοῦ ἐνδόξου πρίγκηπος, νέῳ Ἀρείῳ, ἐναντίῳ τῇ διδασκαλίᾳ τῶν ἁγίων Πατέρων Ἀμβροσίου, Αὐγουστίνου, Ἰσιδώρου, Ἱερωνύμου, — ἐὰν ἀπορρίψῃ τὰς πλάνας αὐτοῦ, — σωτηρία ἐν Κυρίῳ, ἐὰν δὲ μὴ βουληθῇ, — αἰωνία καταδίκη». (Elipandi Lib. ad Alcuinum an 809.).

σκοπῶν(¹). Ἀπὸ τοῦ χρόνου τούτου ἀπεκάλει ὁ δυτικὸς κλῆρος Ἀρειανοὺς τοὺς ὀρθοδόξους Σλάβους. Ὁ ἅγιος Κύριλλος λέγει, ὅτι αὐτὸς ἀγωνίζεται πρὸς τὸν ἀρειανισμόν, ὁμολογῶν τὸ ὁμοούσιον τοῦ Υἱοῦ τῷ Θεῷ Πατρί, καὶ ὅτι ὑπ' αὐτοῦ πολεμεῖται. Οἱ ἀμαθεῖς ὑπέρμαχοι τῆς δόξης τοῦ Υἱοῦ τοῦ Θεοῦ, λέγοντες, ὅτι τὸ ἅγιον Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ, καταβιβάζουσι Αὐτὸν μὲν εἰς κατώτερον βαθμὸν τοῦ Θεοῦ Πατρός, τὸ δὲ ἅγιον Πνεῦμα εἰς κατώτερον αὐτοῦ τοῦ Υἱοῦ μᾶλλον, ἢ ὑψοῦσιν Αὐτόν, διότι δύο ἀρχαί—δύο ἴσοι Θεοὶ ἀδύνατον, ἡ δὲ ταπείνωσις τοῦ ἑνὸς πρὸ τοῦ ἄλλου ἐστὶ δυνατὴ μόνον ἐν τῷ ἀρειανισμῷ. «Πιστεύω εἰς ἓν Πνεῦμα ἅγιον, ἐκπορευόμενον ἐκ μόνου τοῦ Θεοῦ Πατρός, καὶ τῷ Πατρὶ καὶ τῷ Υἱῷ συνευλογούμενον καὶ συνδοξαζόμενον». ἔλεγεν ὁ Κύριλλος.

Ἐν τῷ δευτέρῳ μέρει, ἐκθεὶς διὰ βραχέων τὸ περὶ τῆς Ἐνανθρωπήσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ δόγμα, λέγει: «Ἀναγκαῖον ἐκτενέστερον πραγματεύσασθαι περὶ αὐτοῦ ἕνεκα τῆς ἀναφανείσης καὶ νῦν κενολογίας ἐπινοούσης αἱρέσεως». Τίνες εἰσὶν οἱ διδάσκαλοι οὗτοι, οἱ κενολογίας ἐπινοοῦντες νῦν, ἐπὶ τοῦ ἁγίου Κυρίλλου; ἅπαντες οἱ διδάσκαλοι τοῦ Καρόλου, οἱ ἀποδεξάμενοι τὴν δυσσεβῆ προσθήκην: *Filioque*. Ὥσπερ ἐν τοῖς Ἀδοπτιανοῖς ἑώρων Νεστοριανοὺς καὶ πρὸς ὑπεράσπισιν ἀπ' αὐτῶν οὐδὲν ἄλλο ἠδύναντο ποιῆσαι, ἢ ἀποδέξασθαι τὸ *Filioque*,—οὕτω τῷ δικαιώματι τῆς αὐτῆς σοφίας ἤρξαντο ἀποκαλεῖν καὶ τοὺς ἀπορρίπτοντας τὴν προσθήκην ταύτην Νεστοριανούς.— Ἄλλως ἐθεώρουν Ἀρειανὸν ἢ Νεστοριανὸν πάντα οὐ συμφωνοῦντα τῇ ἀμαθεῖ αὐτῶν δοξασίᾳ περὶ τῆς ἀνυψώσεως τοῦ Υἱοῦ διὰ τῆς καὶ ἐξ Αὐτοῦ ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος. Αὐτοὶ οἱ πατέρες τῆς ἐν Φραγκφούρτῃ συνόδου, οἱ καταδικάσαντες (τῷ 794) τὸν Ἐλίπανδον, οὐκ ὀρθῶς ἐνόουν, ὡς δῆλον, αὐτόν τε

(¹) Στράβων ὁ Βαλλάφριδος: «Apud Gallos post dejectionem Felicis haeretici gloriosissimo Carolo Francorum rectore damnati, idem Symbolum *latius* et crebrius in missarum coepit officiis iterari». Ὁ Κάρολος ἔγραψε πρὸς τὸν Π. Λέοντα: «Quaestio de Spiritus S. prrcessione est nuper exorta», καὶ ἠτήσατο, ἵνα ἐπιτραπῇ ψάλλεσθαι τὸ Σύμβολον μετὰ τῆς προσθήκης: *Filioque*. Ὁ Πάπας κατεδίκασε ταύτην τὴν προσθήκην. Τοῦτο συνέβη τῷ 809 (Harduin Concil. T. IV. f. 970. Ado Viener. Chronic. ad an. 809. Aimonii Lib.

καὶ τὸ περὶ τῆς Ἐνανθρωπήσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ δόγμα, (1). Πολλῷ ἧττονα σαφήνειαν καὶ ἀκρίβειαν ἐν ταῖς ἐννοίαις δύναταί τις ἰδεῖν ἐν τοῖς μαθηταῖς τῆς συνόδου. Τούτων οὕτως ἐχόντων, ἀνάγκη ἦν ἀποσοβῆσαι τὴν κενολογίαν καὶ στηλιτεῦσαι τὴν ἀμάθειαν. Ὁ ἅγιος Κύριλλος ἐκτίθησιν ἄριστα, σαφῶς, ὡρισμένως, καὶ ἀκριβῶς τὸ περὶ τῆς Ἐνανθρωπήσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, δόγμα. «Θεός, λέγει, φύσει ὁ Μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Πατρός, γεννηθεὶς ἐξ Αὐτοῦ πρὸ πάντων τῶν αἰώνων ἀρρήτως καὶ ἀσπόρως, οὐ παυσάμενος τοῦ εἶναι, ὅπερ ἦν, φύσει Θεός, ἐπ᾿ ἐσχάτων τῶν ἡμερῶν ἀνέλαβε τὴν ἀνθρωπίνην φύσιν καὶ ὁλοσχερῶς κεκοινώνηκε τῆς σαρκὸς ἡμῶν καὶ τοῦ αἵματος, ὁ Λόγος σὰρξ ἐγένετο, ἀνέλαβε δὲ οὐχ ἁπλὴν σάρκα. ἀλλ᾿ ἐμψυχωμένην ψυχικῇ λογικῇ τε καὶ νοερᾷ. Ὢν εἷς Υἱὸς καὶ μετὰ τὴν Ἐνανθρώπησιν, ὁμοούσιος τῷ Θεῷ καὶ Πατρὶ κατὰ τὴν θεότητα, καὶ ὅμοιος ἡμῖν κατὰ τὴν ἀνθρωπότητα, διασώζει καὶ ἐν τῇ ἑνώσει τὰς οἰκείας ἑκατέρᾳ φυσικὰς διαφορὰς ἀτρέπτως καὶ ἀναλλοιώτως. Ὁ γὰρ Λόγος, ὢν τέλειος Θεός, ἥνωται τελείῳ ἀνθρώπῳ — ἐν ἑνὶ σώματι. Ἐντεῦθεν Θεοτόκον κυρίως καὶ ἀληθῶς τὴν Αὐτὸν γεννήσασαν κηρύττομεν», κ.τ.λ.

Ἐν τῷ τρίτῳ μέρει τῆς ὁμολογίας λέγει διὰ βραχέων, ὅτι σέβει τὰς ἁγίας εἰκόνας, ὡς παρέδωκεν ἡ ἐν Νικαίᾳ ἁγία καὶ Μεγάλη Σύνοδος, συνῳδὰ τῇ διδασκαλίᾳ τῆς ἀρχαίας Ἐκκλησίας. Καὶ περὶ τούτου ὤφειλεν ὁ θεῖος ἀνὴρ πραγματεύσασθαι ἕνεκα τῶν Γερμανῶν. Εἰ καὶ ὁ τῆς Δύσεως Πατριάρχης ἀπεφήνατο κατὰ τῆς εἰκονομαχίας ἐν τῇ τῆς Νικαίας Ζ΄ οἰκουμενικῇ Συνόδῳ, ὅμως ὁ Κάρολος συνήγειρε σύνοδον, ἐν ᾗ ἐσπούδασεν ἀποδεῖξαι, ὅτι ἡ εἰς τὰς ἁγίας εἰκόνας ἀπονεμομένη τιμὴ οὐδὲν ἄλλο ἐστὶν ἢ εἰδωλολα-

de g est. Francor. C. 97.). Περὶ τοῦ Π. Λέοντος τοῦ Γ΄ γράφει καὶ ὁ Ἀναστάσιος: «Hic vero pro amore et cautela orthodoxae fidei in Basilica S. Petri scuta argenta duo, scripta utraque Symbolo, unum quidem litteris Graecis et aliud latinis». Βλ. Φωτ. ἐπ. πρὸς τὸν Ἀκυληΐας Μητροπολ. καὶ βιβλ. περὶ τοῦ ἁγίου Πνεύματος πρὸς τὸν ἐπίσκοπον Βέδαν.

(1) Κατ᾿ αἴτησιν τοῦ Καρόλου κατεδικάσθη ἡ διδασκαλία τοῦ Ἐλιπάνδου ἐν Φραγκφούρτῃ τῷ 794 καὶ ἐν Ἀάχῃ τῷ 798. Act. Concil. Francf. ap. Mains. T. XIII. p. 863. f. Concil. Aquisgran. p. 1035 s.

τρεία. Ὁ Κύριλλος, ἀγωνιζόμενος πρὸς τοὺς ἱεροκήρυκας τοῦ Καρόλου, ἀποδείκνυσιν αὐτοῖς τὴν σημασίαν τῆς τῶν ἁγίων εἰκόνων προσκυνήσεως. «Τιμῶμεν ἐπ᾽ ἴσης καὶ ἀσπαζόμεθα τὰς ἁγίας εἰκόνας, ἐν τοῖς ἐκτυπώμασι δεικνυούσας ἡμῖν ἁπάσας τὰς εὐαγγελικὰς διηγήσεις καὶ ὑπομιμνησκούσας ἡμᾶς τὰ ὑπὸ τοῦ Σωτῆρος ὑπὲρ ἡμῶν ποιηθέντα . . . Πάντες οἱ ὑπὸ τοῦ ἁγίου Πνεύματος διδαχθέντες, ὁρῶσι τὴν διαφορὰν τῆς τιμῆς,—ὁποίαν τιμήν, ὁποίαν προσκύνησιν δεῖ ἀποδιδόναι τῷ Χριστῷ, καὶ ὁποία τιμὴ πρέπει ταῖς ἁγίαις εἰκόσι».

Ἐν τῷ ἐπιλόγῳ γράφει ὁ θεῖος ἀνήρ: «Οὕτως ὁμολογῶ τὴν ἐμὴν πίστιν μετὰ Μεθοδίου, τοῦ ἐμοῦ γνησίου ἀδελφοῦ καὶ συναντιλήπτορος ἐν τῇ διακονίᾳ τοῦ Θεοῦ. Ἐν ταύτῃ τῇ πίστει κεῖνται ἡ σωτηρία καὶ ἡ ἐλπίς, καὶ ταύτην παραδίδομεν ἀμφότεροι τοῖς ἡμετέροις μαθηταῖς, ἵνα οὕτω πιστεύοντες σωθῶσι», κ. τ. λ.

Περὶ τῆς γνησιότητος ταύτης τῆς ὁμολογίας λέγομεν, ὅτι βεβαιοῦται ὑπὸ τοῦ βίου τῶν φωτιστῶν τῶν Σλάβων. Καὶ ὁ Π. Ἰωάννης ἔγραφε περὶ τοῦ ἀδελφοῦ τοῦ ἁγίου Κυρίλλου, ὅτι ἐξέθηκεν ἐν Ῥώμῃ τὴν ἑαυτοῦ πίστιν verbis et litteris. Αὐτὴ ἡ γλῶσσα τῆς ὁμολογίας ἐστὶ πάνυ ἀρχαία, ὁμοία τῇ διασωθείσῃ ἐν τῷ ὀστρομιρείῳ Εὐαγγελίῳ καὶ ἐν τῷ Ἀπανθίσματι τοῦ Σβιατοσλάβου.

Ὁ Παννονὸς βιογράφος τοῦ ἁγίου Κυρίλλου, περιγράψας τὰς ἐν Χαζαρίᾳ συζητήσεις αὐτοῦ πρὸς τοὺς Ἰουδαίους καὶ Ἄραβας, περαίνει τὴν διήγησιν αὐτοῦ ὧδε: «Ὁ βουλόμενος τελείας τῶν ἁγίων τούτων ὁμιλίας ζητῆσαι, εὑρήσει αὐτὰς ἐν τοῖς βιβλίοις αὐτοῦ (τοῦ Κωνσταντίνου), τοῖς ὑπὸ τοῦ διδασκάλου ἡμῶν Μεθοδίου μεθερμηνευθεῖσι καὶ διαιρεθεῖσιν εἰς ὀκτὼ λόγους». Κατὰ τοὺς προτέρους χρόνους παρ᾽ ἡμῖν ἐτάσσετο ἐν τοῖς ψυχωφελέσι τῶν Πατέρων συγγράμμασι καὶ ἡ βίβλος: Κ ύ ρ ι λ λ ο ς ὁ Σ λ ά β ο ς (¹). Ἀλλ᾽ ἡμῖν ἀδύνατον εὑρεῖν μνημεῖον τῆς τοῦ Κυρίλλου τέχνης ἐν ταῖς πρὸς τοὺς ἐχθροὺς τῆς πίστεως συζητήσεσιν αὐτοῦ.

Ὁ σπουδαιότατος τῶν πόνων τῶν φωτιστῶν τῶν Σλάβων ἦν ὁ τῆς μεταφράσεως τῶν ἱερῶν βιβλίων ἐκ τῆς ἑλληνικῆς γλώσσης εἰς τὴν σλαβικήν, πλείστων θλίψεων πρόξενος γενόμενος αὐτοῖς καὶ θεὶς αὐτοὺς ἐν τῇ χορείᾳ τῶν Ἀποστόλων. Ὁ ἅγιος Κύριλλος, κα-

(¹) Βλ. Καλαϊδοβίτζ. σελ. 109-209.